Νο 371

ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

ΤΗΣ

# ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

**Μετὰ** μεγάλης προσθήκης, Αἴνους εἰς τὴν Παραμονήν, Παρακλητικὸς Κανὼν καὶ ΚΛ΄ χαιρετισμοὺς εἰς τὴν Παντάνασσαν Δέσποιναν, Ὁμιλία ἐκ τοῦ Ἱεροῦ Δαμασκηνοῦ, συντεθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι:

ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.

144
15 β.
551



[1922]

# ΠΑΡΑΜΟΝΗ ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ

*Εἰς τοὺς Αἴνους* **Ἦχος πλ. β'.**

Αἱ Ἀγγελικαὶ προπορεύεσθαι δυνάμεις, εἰς προϋπαντὴν τοῦ θεοχωρήτου σκήνους, τῆς Ὑπεράγνου Κόρης, Ἀποστόλων ὁ θίασος, διὰ νεφελῶν συναθροισθέντες, τὴν λογικὴν πάντων Κτίστου, τοῦ προπέμψατε, μετ' εὐφροσύνης κιβωτόν, ἐξόδια ᾄδοντες.

Αἱ Ἀγγελικαὶ συναθροίσθητε δυνάμεις, ἐπὶ τὴν Σιών, ἐξ ἀντίγων οὐρανίων, Δαβίδ, ἑτοιμαζέτω τὰ ἐξόδια ᾄσματα, πᾶσα σὺν Προφήταις καὶ δικαίοις, ὁ οὐρανὸς ἐξαναγέσθω, καὶ γὰρ αἴνεσιν, ἡ πλατυτέρα οὐρανῶν, καὶ θεῖα σκηνώματα.

Ἆρρόν σου Σιών, ὀφθαλμοὺς κύκλῳ καὶ ἴδε, ἤκουσε καὶ γάρ, τὰ σὰ τέκνα νῦν μακρόθεν, ὀχούμενα νεφέλαις, οἱ θεόπται Ἀπόστολοι, ᾄδοντες ᾠδαῖς μεταστασιμοις, τῇ Ὑπεράγνῳ Θεοτόκῳ. καὶ γὰρ αἴνεσιν, διὰ θανάτου πρὸς ζωὴν τὴν ὄντως ἀθάνατον.

Χαῖρε Οὐρανέ, σὺν Ἀγγέλοις καὶ δικαίοις, ἥκει γὰρ ἐν σοὶ τοῦ Θεοῦ ἡμῶν ἡ Μήτηρ, διηστήτωσαν τὰ πλήθη, τῶν βροτῶν κατοπτεύοντα, μέγα ἱλαστήριον τοῦ κόσμου, πρὸς τὸν Θεὸν νῦν μεταβαίνει, δι' ἧς ἄφεσιν, ἁμαρτημάτων, οἱ πιστοὶ εὑρίσκομεν πάντοτε. Δόξα,

Ὤφθης οὐρανὸς ὑψηλότερον τοῦ πρώτου, Πάναγνε Ἁγνή, τὸν ἐπέκεινα γὰρ πάσης, οὐσίας ἐν γαστρί σου Θεοτόκε ἐχώρησας, ὡς καὶ νῦν μετέστησεν ἐκ γῆς σε, πρὸς ὑπερκόσμια μεθ' δόξης, τῆς λαμπρότητος ὀφειλομένην ὡς Μητρὶ τιμὴν ἀπονέμειν σου. Καὶ νῦν,

Φύσι γηγενῶν. ἐπὶ σοὶ χαίρει Παρθένε· αὕτη γὰρ αὐτήν, ἐκ πολλῆς περιουσίας τετίμηκας τὸν ταύτης, κτίστην ταύτην συνάψασα, ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει, πρὸς ὃν νῦν ξέναι μεταβᾶσα, πρῶτον ἵλεων ταῖς μητρικαῖς ἀεὶ λιταῖς, ἡμῖν ἁγνὴ τίθεσο.



**Ἀπολυτίκιον Ἦχος Δ'.**

Λαοὶ προσκυρτήσατε, χεῖρας κροτοῦντες πιστῶς, καὶ πόθῳ ἀθροίσθητε, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ τοῦ Θεοῦ γὰρ ἡ Μήτηρ, μέλλει τῶν ἐπιγείων, πρὸς τὰ ἄνω ἀπαίρειν ἔνδοξος· ἣν ἐν ὕμνοις, ἀεί, ὡς Θεοτόκον δοξάζομεν.

**Κοντάκιον Ἦχος Δ'.** *Ἐπεφάνης σήμερον.*

Τῇ ἐνδόξῳ μνήμῃ σου, ἡ οἰκουμένη, προσκιρτῶσα σήμερον, μετ' εὐφροσύνης μυστικῶς, Θεοκυήτωρ κραυγάζει σοι· Χαῖρε Παρθένε χριστιανῶν τὸ καύχημα.

**Μεγαλυνάριον.**

Παρθένε καὶ Μήτηρ τοῦ Ἰησοῦ, δέξαι ἱκεσίαις, τῶν πιστῶς τε καὶ εὐλαβῶς, τὴν θείαν σου ὄντως Μετάστασιν τιμώντων, καὶ ῥῦσαι πάσης λύπης καὶ περιστάσεως.

**Κοινωνικόν:** *Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.* **Ἀλληλούϊα**[1]

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στιχ. 6'. Στιχηρὰ Προσόμ. Γ' Δευτεροῦντες τὸ Α'.

*Ποίοις εὐφημιῶν στέμμασι.* **Ἦχος β'.**

Ποίοις οἱ εὐτελεῖς χείλεσι, μακαρίσωμεν τὴν Θεοτόκον; τὴν τιμιωτέραν τῆς κτίσεως, καὶ ἁγιωτέραν ὑπάρχουσαν, Χερουβὶμ καὶ πάντων τῶν Ἀγγέλων, τὸν θρόνον τοῦ Βασιλέως τὸν ἀσάλευτον· τὸν οἶκον, ἐν ᾧ κατῴκησεν ὁ Ὕψιστος· τὴν σωτηρίαν τοῦ κόσμου· τοῦ Θεοῦ ἁγίασμα· τὴν παρέχουσαν τοῖς πιστοῖς, ἐν τῇ θείᾳ μνήμῃ αὐτῆς, πλουσίως τὸ μέγα ἔλεος.

1. Ἀντεγράφησαν ἐκ τῆς Βασιλικῆς μονῆς Ἰβήρων, πρὸς τιμὴν τῆς Θεοτόκου Ἁγ. Ὄρους. Γεώργιος Ἀ. Βουτέρης, ἱερεὺς ἔτος 1904

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τίνα τὰ φοβερὰ ᾄσματα, ἃ προσῆξάν σοι τότε Παρθένε; κύκλῳ τῆς σῆς κλίνης ἱστάμενοι, πάντες οἱ τοῦ Λόγου Ἀπόστολοι, καὶ θαμβητικῶς ἀναβοῶντες. Ἀπαίρει, τοῦ Βασιλέως τὸ παλάτιον· ὑψοῦται ἡ κιβωτὸς τοῦ ἁγιάσματος· πύλαι ἐπάρθητε ὅπως, τοῦ Θεοῦ ἡ πύλη, ἐν πολλῇ εἰσέλθῃ χαρᾷ, τῷ κόσμῳ ἀπαύστως αἰτουμένη τὸ μέγα ἔλεος.

Ποῖα πνευματικὰ ᾄσματα, νῦν προσάξωμέν σοι Παναγία; τῇ γὰρ ἀθανάτῳ Κοιμήσει σου, ἅπαντα τὸν κόσμον ἡγίασας, καὶ πρὸς ὑπερκόσμια μετέβης τὸ κάλλος κατανοεῖν τοῦ Παντοκράτορος, καὶ τούτῳ, διάπερ Μήτηρ συναγάλλεσθαι, Ἀγγελικῶν σε Ταγμάτων, δορυφορησάντων Ἁγνή, καὶ ψυχαὶ δικαίων· μεθ᾽ ὧν αἴτησαι ἡμῖν, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Δόξα καὶ νῦν. Ἦχος β΄.**

Ἡ τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι᾽ ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς. καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

**Τὸ Φῶς ἱλαρόν.** *Καὶ εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια* **Ἦχος β΄.** *Οἶκος τοῦ Ἐφραθᾶ.*

Δῆμος τῶν Μαθητῶν ἀθροίζεται Κηδεῦσαι, Μητέρα Θεοτόκον, ἐλθόντες ἐκ περάτων παντοδυνάμῳ νεύματι.

**Στίχ.** *Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.*

Νύμφη ἡ τοῦ Θεοῦ Βασίλισσα Παρθένος, τῶν ἐκλεκτῶν ἡ δόξα, καύχημα τῶν παρθένων, πρὸς τὸν Υἱὸν μεθίσταται.

**Στίχ.** *Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. . .*

Ἤθροισται ὁ χορός, Μαθητῶν παραδόξως, ἐκ τῶν περάτων κόσμου, κηδεῦσαι σου τὸ σῶμα, τὸ θεῖον καὶ ἀκήρατον.

**Δόξα Πατρί** **Καὶ νῦν καὶ ἀεί.** *Ὅμοιον.*

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.



**Ἐξαποστειλάρια.** *Ὁ οὐρανὸν τοῖς ἄστροις*

Τῶν Ἀποστόλων ὁ δῆμος συναθροισθεὶς ἐν νεφέλαις, ἀξιοχρέως κηδεύει, τὴν τοῦ Κυρίου Μητέρα, παρόντος καὶ τοῦ Σωτῆρος, σὺν μυριάσιν Ἀγγέλων.

Μετὰ βροντῆς ἐν νεφέλαις τοὺς Ἀποστόλους ὁ Σωτήρ, πρὸς τὴν τεκοῦσαν ἐκπέμπει, πόθῳ κηδεύσαντες αὐτήν, κατέρχεται δὲ καὶ οὗτος δορυφορούντων Ἀγγέλων.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Στιχολογοῦμεν τό, Μακάριος ἀνήρ, τὴν ά στάσιν. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καὶ ψάλομεν Στιχηρὰ προσόμοια τρία, δευτεροῦντες αὐτά.*

**Ἦχος ά. Αὐτόμελον.**

Ὢ τοῦ παραδόξου θεάματος! ἡ πηγὴ ζωῆς, ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς τὸν οὐρανόν, ὁ τάφος γίνεται, Εὐφραίνου Γεσθημανῆ, τῆς Θεοτόκου τὸ ἅγιον τέμενος, Βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν μυστηρίων ἁγνή! τοῦ Ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς οὐρανόν, μετέστης σήμερον. Ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ μητρί, τοῦ βασιλέως, πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Τὴν σὴν δοξάζουσι Κοίμησιν, Ἐξουσίαι Θρόνοι, Ἀρχαί, Κυριότητες, Δυνάμεις, καὶ Χερουβίμ, καὶ τὰ φρικτὰ Σεραφίμ. Ἀγάλλονται γηγενεῖς, ἐπὶ τῇ θείᾳ σου δόξῃ κοσμούμενοι. Προσπίπτουσι βασιλεῖς σὺν Ἀρχαγγέλοις Ἀγγέλοις καὶ μέλπουσι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

**Δόξα, καὶ νῦν. Ἦχος ά..**

Θεαρχίῳ νεύματι, πάντοθεν οἱ θεοφόροι Ἀπόστολοι, ὑπὸ νεφῶν μεταρσίως αἰρόμενοι. Ἦχος πλ. ά.

Καταλαβόντες τὸ πανάχραντον, καὶ ζωαρχικόν σου σκῆνος, ἐξόχως ἠσπάζοντο. Ἦχος β΄.

Αἱ δὴ ὑπέρτατοι τῶν οὐρανῶν Δυνάμεις, σὺν τῷ οἰκείῳ Δεσπότῃ παραγενόμεναι. Ἦχος πλάγ. β΄.

Τὸ θεοδόχον καὶ ἀκραιφνέστατον σῶμα προπέμπουσι, τῷ δέει κρατούμεναι· ὑπερκοσμίως δὲ προῴχοντο, καὶ ἀοράτως ἐβόων, ταῖς ἀνωτέραις ταξιαρχίαις· Ἰδοὺ ἡ παντάνασσα Θεόπαις παραγέγονεν. Ἦχος γ΄.

Ἄρατε πύλας καὶ ταύτην ὑπερκοσμίως ὑποδέξασθε, τὴν τοῦ ἀεννάου φωτὸς Μητέρα. Ἦχος βαρύς.

Διὰ ταύτης γὰρ ἡ παγγενὴς τῶν βροτῶν σωτηρία γέγονεν· ᾗ ἀτενίζειν οὐκ ἰσχύομεν, καὶ ταύτῃ ἄξιον γέρας ἀπονέμειν ἀδύνατον. Ἦχος δ΄.

Ταύτης γὰρ τὸ ὑπερβάλλον, ὑπερέχει πᾶσαν ἔννοιαν.

Ἦχος πλαγ. δ΄.

Διὸ ἄχραντε Θεοτόκε, ἀεὶ σὺν ζωηφόρῳ Βασιλεῖ, καὶ τόκῳ ζῶσα πρέσβευε διηνεκῶς. περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου· τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα. Ἦχος ά.

Εἰς τοὺς αἰῶνας, ἀγλαοφανῶς μακαρίζοντες.

*Εἴσοδος. **Φῶς ἱλαρόν,** Προκείμενον τῆς Ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

***Γενέσεως τὸ Ἀνάγνωσμα.***

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς



τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾿ αὐτήν· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾿ αὐτῆς· καὶ εἶπεν: Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ. Ἡ γῆ, ἐφ᾿ ἧς σὺ καθεύδεις ἐπ᾿ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ Θάλασσαν, Λίβα, καὶ Βορρᾶν, καὶ ἐπὶ Ἀνατολάς. καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλείπω, ἕως οὗ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν: Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν: Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ᾿ ἢ οἶκος Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

***Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.***

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς Πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με: Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾿ αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι᾿ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ᾿ αὐτὴν, τοῦ φαγεῖν ἄρτον. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης, εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται, Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βορρᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

***Παροιμιῶν τὸ Ἀνάγνωσμα.***

Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ

κρατῆρα, λέγουσα: Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν: Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου· καὶ βουλὴ Ἁγίων, σύνεσις· τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

*Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα.*

*Ἦχος α'.*

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ, τὴν Κοίμησιν ἐποπτεῦσαι, τελευταῖον οὖσαν ἐπ' αὐτῇ μυστήριον· ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν θεάσωνται, ἀλλὰ καὶ τῆς τεκούσης αὐτὸν τῇ μεταθέσει μαρτυρήσωσι. Διό περ πάντοθεν, θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον· καὶ πρὸς οὐρανὸν ἐπειγομένην, προέπεμπον τὴν ἀνωτέραν τῶν Χερουβίμ· ἣν καὶ ἡμεῖς σὺν αὐτοῖς προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β', Ἀνατολίου.**

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι' ὑπερβάλλουσαν καθαρότητα τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

**Ὁ αὐτὸς Ἰωάννου**

Ἡ πανάμωμος νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός· ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, τῆς ἀσυγχύτου ἑνώσεως, σήμερον τὴν ἄχραντον ψυχήν, τῷ Ποιητῇ καὶ Θεῷ πα-



ρατίθεται· ἣν Ἀσωμάτων δυνάμεις, θεοπρεπῶς ὑποδέχονται· καὶ πρὸς ζωὴν μετατίθεται ἡ ὄντως Μήτηρ τῆς ζωῆς, ἡ λαμπὰς τοῦ ἀπροσίτου φωτός, ἡ σωτηρία τῶν πιστῶν καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

**Ἦχος γ'. Γερμανοῦ**

Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς, τὴν σεπτὴν Μετάστασιν τῆς Θεομήτορος μακαρίσωμεν· ἐν χερσὶ γὰρ τοῦ Υἱοῦ, τὴν ψυχὴν τὴν ἄμωμον ἐναπέθετο· ὅθεν τῇ Ἁγίᾳ Κοιμήσει αὐτῆς ὁ κόσμος ἀνεζωοποιήθη, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, μετὰ τῶν Ἀσωμάτων, καὶ τῶν Ἀποστόλων ἑορτάζων φαιδρῶς.

**Δόξα, Ἦχος πλ. α'. Θεοφάνους.**

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα· δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν, τῇ καταπαύσει τῆς Κιβωτοῦ τοῦ Θεοῦ. Σήμερον γὰρ οὐρανὸς ἐφαπλοῖ τοὺς κόλπους, δεχόμενος τὴν τετοκυῖαν τὸν ἐν πᾶσι μὴ χωρούμενον· καὶ ἡ γῆ τὴν πηγὴν τῆς ζωῆς ἀποδιδοῦσα, τὴν εὐλογίαν στολίζεται καὶ εὐπρέπειαν. Ἄγγελοι χοροστατοῦσι σὺν Ἀποστόλοις περιδεῶς ἐνατενίζοντες, ἐκ ζωῆς εἰς ζωὴν μεθισταμένης, τῆς τεκούσης τὸν ἀρχηγὸν τῆς ζωῆς. Πάντες προσκυνήσωμεν αὐτὴν δεόμενοι· Συγγενοῦς οἰκειότητος μὴ ἐπιλάθῃ Δέσποινα, τῶν πιστῶς ἑορταζόντων, τὴν παναγίαν σου Κοίμησιν.

**Καὶ νῦν. Ὁ αὐτός.**

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα.*

*Ἦχος δ'.*

Δεῦτε ἀνυμνήσωμεν λαοί, τὴν Παναγίαν Παρθένον ἁγνήν, ἐξ ἧς ἀρρήτως προῆλθε, σαρκωθεὶς ὁ Λόγος τοῦ Πατρός, κράζοντες καὶ λέγοντες· Εὐλογημένη σὺ ἐν γυναιξί. Μακαρία ἡ γα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

στήρ, ἡ χωρήσασα Χριστόν. Αὐτοῦ ταῖς ἁγίαις χερσὶ τὴν ψυχὴν παραθεμένη πρέσβευε ἄχραντε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Στίχος.*

*Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.*

Τὴν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε ἁγνὴ τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπέρ ἡμῶν μὴ παύσῃ, δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

*Στίχος.*

*Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.*

Δαυϊτικὴν ᾠδὴν σήμερον λαοί, ᾄσωμεν Χριστῷ τῷ Θεῷ. Ἀπενεχθήσονται, φησί, τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει. Ἡ γὰρ ἐκ σπέρματος, Δαυΐδ, δι' ἧς ἡμεῖς ἐθεώθημεν, ἐν ταῖς χερσὶ τοῦ ἑαυτῆς Υἱοῦ καὶ Δεσπότου, ἐνδόξως καὶ ὑπὲρ λόγον μετατίθεται· ἣν ὡς Μητέρα Θεοῦ ἀνυμνοῦντες, βοῶμεν καὶ λέγομεν. Σῶσον ἡμᾶς, τοὺς ὁμολογοῦντάς σε Θεοτόκον, ἀπὸ πάσης περιστάσεως, καὶ λύτρωσαι κινδύνων τὰς ψυχὰς ἡμῶν.

*Δόξα, καὶ νῦν, Ἦχος δ'.*

Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, παρῆν Ἰάκωβος ὁ Ἀδελφόθεος, καὶ πρῶτος Ἱεράρχης, Πέτρος τε ἡ τιμιωτάτη κορυφαία τῶν Θεολόγων ἀκρότης, καὶ σύμπας ὁ θεῖος τῶν Ἀποστόλων χορός, ἐκφαντορικαῖς θεολογίαις ὑμνολογοῦντες, τὸ θεῖον καὶ ἐξαίσιον, τῆς Χριστοῦ τοῦ Θεοῦ οἰκονομίας μυστήριον· καὶ τὸ ζωαρχικόν, καὶ θεοδόχον σου σῶμα κηδεύσαντες, ἔχαιρον πανύμνητε. Ὕπερθεν δὲ αἱ πανάγιαι, καὶ πρεσβύταται τῶν Ἀγγέλων Δυνάμεις, τὸ θαῦμα ἐκ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



πληττόμεναι, κεκυφυῖαι ἀλλήλαις ἔλεγον· Ἄρατε ὑμῶν τὰς πύλας, καὶ ὑποδέξασθε τὴν τεκοῦσαν, τοῦ οὐρανοῦ καὶ γῆς Ποιητήν· δοξολογίαις τε ἀνυμνήσωμεν, τὸ σεπτὸν καὶ ἅγιον σῶμα, τὸ χωρῆσαν τὸν ἡμῖν ἀθεώρητον καὶ Κύριον. Διό περ καὶ ἡμεῖς τὴν μνήμην σου ἑορτάζοντες, ἐκβοῶμεν σοι Πανύμνητε· Χριστιανῶν τὸ κέρας ὕψωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Ἀπολυτίκιον Ἦχος α'.*

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας. Ἐν τῇ Κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς· καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν. (ἐκ τρίτου).

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α', Στιχολογίαν, Κάθισμα Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ἀναβόησον Δαυΐδ, τίς ἡ παροῦσα Ἑορτή; Ἣν ἀνύμνησα φησίν, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι μητέρες καὶ θυγατέρες, καὶ νύμφαι Χριστοῦ, βοῶσαι· Χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω βασίλεια.

*Δόξα, καὶ νῦν. Τὸ αὐτό.*

*Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε· οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες· ἣν πίστει ἑορτάζομεν.

*Δόξα, καὶ νῦν. Τὸ αὐτό.*

*Μετὰ τὸν Πολυέλαιον, Κάθισμα. Ἦχος α'. Τὴν ὡραιότητα.*

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος· ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος· θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς

δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

***Δόξα, καὶ νῦν. Τὸ αὐτό.***

*Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.*

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (Δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (Δίς) Δόξα Πατρί.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν. Προκείμ.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

***Στίχος.*** *Ἄκουσον θύγατερ, καὶ ἴδε.* *Πᾶσα πνοή.*

## ΕΥΑΓΓΕΛΙΟΝ

***Ἐκ τοῦ κατὰ Λουκᾶν.***

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα. Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι



ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

*Μετὰ δὲ τὸν Ν΄. Δόξα. Ταῖς τῆς Θεοτόκου.*

***Καὶ νῦν.*** *Τὸ αὐτό. Εἶτα τὸ Πεντηκοστάριον, Στιχηρὸν Ἰδιόμελον.*

***Ἦχος πλ. β΄. Βύζαντος.***

Ὅτε ἡ μετάστασις, τοῦ ἀχράντου σου σκήνους ηὐτρεπίζετο, τότε οἱ Ἀπόστολοι, περικυκλοῦντες τὴν κλίνην τρόμῳ ἑωρων· οἱ δὲ καὶ οἱ μὲν ἀτενίζοντες τῷ σκήνει, θάμβει συνεἴχοντο· ὁ δὲ Πέτρος σὺν δάκρυσιν ἐβόα σοι· Ὦ Παρθένε, ὁρῶ σε τρανῶς ἡπλωμένην ὑπτίαν, τὴν ζωὴν τῶν ἁπάντων, καὶ καταπλήττομαι, ἐν ᾗ ἐσκήνωσε τῆς μελλούσης ζωῆς ἡ ἀπόλαυσις. Ἀλλ᾽ ὦ ἄχραντε, ἱκέτευε ἐκτενῶς τὸν Υἱόν σου καὶ Θεόν, τοῦ σώζεσθαι τὴν πόλιν σου ἄτρωτον.

***Εἶτα ψάλλονται οἱ δύο κανόνες· ὁ ά. μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ ὁ δ΄. εἰς ς΄. ὕστερον δὲ πάλιν οἱ Εἱρμοί.***

***Κανὼν πρῶτος, οὗ ἡ Ἀκροστιχίς,***

***Πανηγυριζέτωσαν οἱ θεόφρονες. Ποίημα τοῦ Κυρίου Κοσμᾶ.***

***Ὠδὴ ά. Ἦχος ά. Ὁ Εἱρμός.***

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη » σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, » ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ, ᾄδον- » τας Μονογενεῖ· Ἐνδόξως ὅτι δεδόξασθαι.

Αμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου· ἄφνω δὲ συρρεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην μεθ' ὧν ἄχραντε, σοῦ τὴν σεπτὴν Παρθένε μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἦρω, κατὰ τῆς φύσεως Ἁγνὴ Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

**Κανὼν δεύτερος.** *Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.*

**Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.**

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λό»γον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαι»δρῶς πανηγυρίζων· καὶ ᾄσω γηθόμενος ταύτης τὴν Κοίμησιν.

Παρθένοι νεάνιδες, σὺν τῇ Μαριὰμ τῇ Προφήτιδι, ᾠδὴν τὴν ἐξόδιον νῦν ἀλαλάξατε· ἡ Παρθένος γάρ, καὶ μόνη Θεοτόκος, πρὸς λῆξιν οὐράνιον διαβιβάζεται.

Ἀξίως ὡς ἔμψυχον, σὲ οὐρανὸν ὑπεδέξαντο, οὐράνια Πάναγνε θεῖα σκηνώματα· καὶ παρέστηκας, φαιδρῶς ὡραϊσμένη, ὡς νύμφη πανάμωμος τῷ Βασιλεῖ καὶ Θεῷ.

**Ὠδὴ γ'. Ὁ Εἱρμός.**

Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ »δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον »Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος.

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς Θεότητος, ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισεν.

**Κανὼν δεύτερος. Ὁ Εἱρμός.**

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, »θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ »θείᾳ μνήμῃ σου, στεφάνων δόξης ἀξίωσον.



Θνητῆς ἐξ ὀσφύος προαχθεῖσα, τῇ φύσει κατάλληλον Ἁγνή, τὴν ἔξοδον διήνυσας· τεκοῦσα δὲ τὴν ὄντως ζωήν, πρὸς τὴν ζωὴν μεθέστηκας, τὴν θείαν καὶ ἐνυπόστατον.

Δῆμος Θεολόγων ἐκ περάτων, ἐξ ὕψους Ἀγγέλων δὲ πληθύς, πρὸς τὴν Σιὼν ἠπείγοντο παντοδυνάμῳ νεύματι, ἀξιοχρέως Δέσποινα, τῇ σῇ ταφῇ λειτουργήσοντες.

**Ἦχος πλ. α'. Ἡ Ὑπακοή.**

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί, Θεοτόκε Παρθένε ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν, χωρηθῆναι ηὐδόκησε. Μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες· ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν, καὶ τὰ σκῆπτρα τῆς βασιλείας, ταῖς σαῖς ἱκεσίαις κρατύνονται. Διὸ ἀνυμνοῦντες βοῶμέν σοι: Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

**Ὠδὴ δ' Ὁ Εἱρμός.**

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν »ἐκ Παρθένου σου Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς »ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει. »Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἴδετε λαοὶ καὶ θαυμάσατε· τὸ ὄρος γὰρ τὸ ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων βουνῶν, ἐφ' ὕπερθεν αἴρεται οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου, πρὸς θείαν ὄντως καὶ ἄρρευστον, μεθιστῶν σε ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱόν καθορᾶν σου καὶ Κύριον.

Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ, μητρῷον κειμήλειον. Χερουβὶμ ὑπεῖξέ σοι, ἐν ἀγαλλιάσει· Σεραφὶμ δὲ δοξάζει σε χαίροντα.

**Κανὼν δεύτερος. Ὁ Εἱρμός.**

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώ»σεως, σοῦ τοῦ Ὑψίστου,, ὁ προφήτης Ἀββακούμ, κατα»νοῶν ἐκραύγαζε: Δόξα τῇ δυνάμει σου Κύριε.

Θάμβος ἦν θεάσασθαι τὸν οὐρανόν, τοῦ παμβασιλέως τὸν ἔμψυχον τοὺς κενεῶνας, ὑπερχόμενον τῆς γῆς. Ὡς θαυμαστὰ τὰ ἔργα σου! Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐν τῇ Μεταστάσει σου Μῆτερ Θεοῦ, τὸ εὐρυχωρότατον σῶμά σου, καὶ θεοδόχον, τῶν Ἀγγέλων στρατιαί, ἱερωτάταις πτέρυξι, φόβῳ καὶ χαρᾷ συνεκάλυπτον.

Εἰ ὁ ἀκατάληπτος ταύτης καρπὸς δι' ὃν οὐρανὸς ἐχρημάτισε, ταφὴν ὑπέστη, ἑκουσίως ὡς θνητός, πῶς τὴν ταφὴν ἀρνήσεται, ἡ ἀπειρογάμως κυήσασα; *ᾨδὴ ε'. Ὁ Εἱρμός*

Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσο- »μαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμ- »ψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, »σωματωθεὶς ἀνέτειλας ἥλιος.

Ὡς ἐπὶ νεφέλης παρθένε, τῶν ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο, ἀφ' ἧς ὁ Ὕψιστος Θεός, τοῖς ἐν σκότει καὶ σκιᾷ, δικαιοσύνης ἔλαμψεν ἥλιος.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν Θεολόγων ἀνδρῶν εὐηχέστερον, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τῷ Πνεύματι: Χαίροις ἀκήρατε πηγή, τῆς τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων σαρκώσεως. *Κανὼν δεύτερος Ὁ Εἱρμός.*

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε »Παρθένε, γῆθεν μετέστης πρὸς αἰωνίους μονάς, καὶ πρὸς »ἀτελεύτητον ζωήν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Κροτείτωσαν σάλπιγγες, τῶν Θεολόγων σήμερον· γλῶσσα δὲ πολύφθογγος ἀνθρώπων, νῦν εὐφημείτω, περιηχείτω ἀήρ, ἀπείρῳ λαμπόμενος φωτί. Ἄγγελοι ὑμνείτωσαν, τῆς Παρθένου τὴν Κοίμησιν.

Τὸ σκεῦος διέπρεπε, τῆς ἐκλογῆς τοῖς ὕμνοις σου, ὅλος ἐξιστάμενος Παρθένε, ἔκδημος, ὅλος ἱερωμένος Θεῷ, τοῖς πᾶσι θεόληπτος καὶ ὢν ὄντως καὶ δεικνύμιτος. Θεοτόκε πανύμνητε.

*ᾨδὴ στ'. Ὁ Εἱρμός.*

Ἄθλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου »ταφῆς σου, τί προεικόνισμα, Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται,



»σεσωσμένος γὰρ ὡς καὶ προπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι »μετὰ φωνῆς αἰνέσεως Κύριε.

Νέμει σοι τὰ ὑπὲρ φύσιν. Ἄναξ ὁ πάντων Θεός, ἐν γὰρ τῷ τίκτειν Παρθένον ὥσπερ ἐφύλαξεν οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν, ἀδιάφθορον, καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱός, Μητρὶ χαριζόμενος.

Ὄντως σε ὡς φαεινὴν λυχνίαν, ἀΰλου πυρός, θυμιατήριον θεῖον χρύσεον ἄνθρακος ἐν τοῖς Ἁγίων Ἁγίοις κατεσκήνωσε, στάμνον ῥάβδον τε πλάκα θεόγραφον, κιβωτὸν ἁγίαν, τράπεζαν ἄρτου ζωῆς, Παρθένε ὁ τόκος σου.

*Κανὼν δεύτερος. Ὁ Εἱρμός.*

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, »τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς »τεχθέντα Θεὸν δοξάζοντες.

Ἐκ σοῦ ζωὴ ἀντέταλκε, τὰς κλεῖς τῆς παρθενίας μὴ λύσασα· πῶς οὖν τὸ ἄχραντον, ζωαρχικόν τε σου σκήνωμα, τῆς τοῦ θανάτου πείρας, γέγονε μέτοχον;

Ζωῆς ὑπάρξασα τέμενος, ζωῆς ἀϊδίου τετύχηκας, διὰ θανάτου γάρ, πρὸς τὴν ζωὴν μεταβέβηκας, ἡ τὴν ζωὴν τεκοῦσα τὴν ἐνυπόστατον.

*Κοντάκιον Ἦχος πλ. β'. Αὐτόμελον.*

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον. *Ὁ οἶκος*

Τείχισόν μου τὰς φρένας Σωτήρ μου· τὸ γὰρ τεῖχος τοῦ κόσμου ἀνυμνῆσαι τολμῶ, τὴν ἄχραντον Μητέρα σου, ἐν πύργῳ ῥημάτων ἐνίσχυσόν με, καὶ ἐν βάρεσιν ἐννοιῶν ὀχύρωσόν με· σὺ γὰρ βοᾷς τῶν αἰτούντων πιστῶς τὰς αἰτήσεις πληροῦν. Σὺ οὖν μοι δώρησαι γλῶτταν, προφοράν, λογισμὸν ἀκαταίσχυντον· πᾶσα γὰρ δόσις ἐλλάμψεως παρὰ σοῦ καταπέμπεται φωταγωγέ, ὁ μήτρας οἰκήσας ἀειπάρθενον. *Συναξάριον.*

*Τῇ ΙΕ'. τοῦ αὐτοῦ μηνός. Μνήμη τῆς σεβασμίας Μεταστάσεως τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

Οὐ θαῦμα θνήσκειν κοσμοσώτειραν Κόρην, Τοῦ κοσμοπλάστου σαρκικῶς τεθνηκότος. Ζῇ ἀεὶ Θεομήτωρ, κἂν δεκάτη θάνε πέμπτη. Ἧς ταῖς Πρεσβείαις τῆς Θεοτόκου ἐλέησον καὶ σῶσον ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ὠδὴ ζ΄. Ὁ Εἱρμός.*

Ἡ τ' αμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός. Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι ἐν θυμῷ συνέτριψεν· ἀλλ' ὁ τούτου Δεσπότης τὴν τεκοῦσαν ἀσινῆ, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. Σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ. Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένου καὶ ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς Μεταστάσεως, πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν. Ὁ δεδοξασμένος τῶν Πατέρων ἡμῶν καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὁ θεόφρων ἤθροισται λαός· τῆς γὰρ δόξης Θεοῦ τὸ σκήνωμα, ἐκ Σιὼν μεθίσταται πρὸς οὐράνιον δόμον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ. Ὁ δεδοξασμένος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*Κανὼν δεύτερος. Ὁ Εἱρμός.*

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νεανίσκοι καὶ παρθένοι τῆς Παρθένου τε, καὶ Θεομήτορος, τὴν μνήμην σέβοντες, πρεσβῦται καὶ ἄρχοντες, καὶ βασιλεῖς σὺν κριταῖς, μελῳδήσατε. Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.



Σαλπισάτωσαν τῇ σάλπιγγι τοῦ Πνεύματος, ὄρη οὐράνια· ἀγαλλιάσθωσαν νῦν, βουνοί, καὶ σκιρτάτωσαν θεῖοι Ἀπόστολοι· ἡ Βασίλισσα, πρὸς τὸν Υἱὸν μεθίσταται, σὺν αὐτῷ ἀεὶ κρατοῦσα.

Ἡ πανίερος Μετάστασις τῆς θείας σου, καὶ ἀκηράτου Μητρός, τὰ ὑπερκόσμια τῶν ἄνω Δυνάμεων, ἤθροιστε τάγματα, συνευφραίνεσθαι, τοῖς ἐπὶ γῆς σοι μέλπουσιν· Ὁ Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Ὁ Εἱρμός.*

Φλόγα δροσίζουσαν Ὁσίους δυσσεβεῖς δὲ καταφλέγουσαν. Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι: Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήμασιν εἴχοντο τῆς θείας, κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν Θεολόγων ἐν τῇ Σιών: Ποῦ νῦν ἀπαίρεις σκηνὴ κραυγάζοντες Θεοῦ, τοῦ ζῶντος; Μὴ διαλίπῃς ἐποπτεύουσα, τοὺς πίστει μέλποντας: Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ πανάμωμος, χεῖρας τὰς Θεὸν ἠγκαλισμένας, σωματικῶς ἐν παρρησίᾳ, ὡς Μήτηρ ἔφησε πρὸς τὸν τεχθέντα: Οὓς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι: Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Κανὼν δεύτερος, Ὁ Εἱρμός.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν: Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Τὴν μνήμην σου ἄχραντε Παρθένε, Ἀρχαί τε καὶ Ἐξουσίαι σὺν Δυνάμεσιν, Ἄγγελοι Ἀρχάγγελοι, Θρόνοι Κυριότητες, τὰ Χερουβὶμ δοξάζουσι, καὶ τὰ φρικτὰ Σεραφίμ· ἀνθρώπων δὲ τὸ γένος ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ο ξένως οἰκήσας Θεοτόκε, ἐν τῇ ἀχράντῳ νηδύϊ σου σαρκούμενος, οὗτος τὸ πανίερον, πνεῦμά σου δεξάμενος, ἐν ἑαυτῷ κατέπαυσεν, ὡς ὀφειλέτης Υἱός· διὸ σὲ τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ω τῶν ὑπὲρ ἔννοιαν θαυμάτων, τῆς ἀειπαρθένου τε καὶ Θεομήτορος! τάφον γὰρ οἰκήσασα, ἔδειξε Παράδεισον· ᾧ παρεστῶτες σήμερον, χαίροντες ψάλλομεν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας, Ὠδὴ θ΄.

*Μεγαλυνάριον· ὅπερ στιχολογεῖται ἐν ἑκάστῳ τροπαρίῳ τῆς παρούσης Ὠδῆς. Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.*

**Ὁ Εἱρμός.**

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει Δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι, Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον Σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι. Εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκχοιτῶσα, σῴζεις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου,

**Κανὼν δεύτερος**

*Μεγαλυνάριον στιχολογούμενον καὶ αὐτὸ ὡς τὸ ἀνωτέρω.*

*Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.* **Ὁ Εἱρμός.**

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νοῶν φύσις γεραίρουσα, τὴν ἱερὰν Μετάστασιν τῆς Θεομήτορος, καὶ βοάτω: Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Δεῦτε ἐν Σιών, τῷ θείῳ καὶ πίονι, ὄρει τοῦ ζῶντος Θεοῦ, ἀγαλλιασώμεθα, τὴν Θεοτόκον ἐνοπτριζόμενοι· πρὸς γὰρ τὴν λίαν κρείττονα, καὶ θειοτέραν σκηνήν, ὡς Μητέρα, ταύτην εἰς τὰ Ἅγια, τῶν Ἁγίων Χριστὸς μετατίθησι.



Δεῦτε οἱ πιστοί, τῷ τάφῳ προσέλθωμεν, τῆς Θεομήτορος, καὶ περιπτυξώμεθα, καρδίας χείλη, ὄμματα, μέτωπα, εἰλικρινῶς προσάπτοντες· καὶ ἀρυσώμεθα, ἰαμάτων, ἄφθονα χαρίσματα, ἐκ πηγῆς ἀεννάου βλυστάνοντα. Δέχου παρ' ἡμῶν, ᾠδὴν τὴν ἐξόδιον, Μῆτερ τοῦ ζῶντος Θεοῦ· καὶ τῇ φωτοφόρῳ σου, καὶ θείᾳ ἐπισκίασον χάριτι τῷ Βασιλεῖ τὰ τρόπαια, τῷ φιλοχρήστῳ λαῷ, τὴν εἰρήνην, ἄφεσιν τοῖς μέλπουσι, καὶ ψυχῶν σωτηρίαν βραβεύουσαν.

*Ἐξαποστειλ. Ἦχος γ΄.* *Ἐκ τρίτου*

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεσθημανῆ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

*Εἰς τοὺς **Αἴνους**, ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια γ΄ δευτεροῦντες τὸ α΄.*

**Ἦχος δ΄.** *Ὡς γενναῖον ἐν Μάρτυσι,*

Τῇ ἐνδόξῳ Κοιμήσει σου, οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρί, τοῦ τῶν ὅλων δεσπόζοντος, ἀπειρόγαμε Παναγία Παρθένε, ἡ τὸ γένος, τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

Ἐκ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε· καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι: Χαῖρε ὄχημα, τῆς Θεότητος ὅλης· χαῖρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Τὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι. Ἀρχῶν καὶ Δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράταις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου, Παρθενομῆτορ Θεόνυμφε.

*Δόξα, καὶ νῦν.* *Ἦχος πλ. β΄.*

Τῇ ἀθανάτῳ σου Κοιμήσει Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι·

ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

οἱ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Δοξολογία μεγάλη.***

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς.* Ὠδὴ γ' καὶ ϛ'. Εἰ δὲ βούλει, εἰπὲ τὰ παρόντα **Ἀντίφωνα. Ἀντίφ. α'.** Στίχ. α'. **Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ.** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς. Στίχ. β'. **Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖται τὸ ὄνομα αὐτοῦ.** Ταῖς πρεσβ. τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς. Στίχ. γ'. **Ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.** Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς. Στίχ. δ' **Ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.** Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς. **Δόξα, καὶ νῦν.** Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς. **Ἀντίφ. β'** Στίχ. α'. **Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.** Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός ψάλλοντάς σοι: Ἀλληλούϊα. Στίχ. β'. **Δεδοξασμένα ἐλαλήθει περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.** Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι: Ἀλληλούϊα. Στίχ. γ **Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα·** Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι: Ἀλληλούϊα. Στίχ. δ'. **Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.** Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι: Ἀλληλούϊα, **Δόξα καὶ νῦν.** Ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς Ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος. συνδοξαζόμενος τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς. **Ἀντίφ. γ'.** Στίχ. α'. **Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.** Ἐν τῇ Γεννήσει κτλ. Στίχ. β'. **Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;** Ἐν τῇ Γεννήσει κτλ. Στίχ. γ'. **Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.** Ἐν τῇ Γεννήσει, κτλ. **Εἰσοδικόν.** Δεῦτε



*προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ.* Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι: Ἀλληλούϊα. **Ἀπολυτίκιον.** Ἐν τῇ Γεννήσει, κτλ. **Κοντάκιον.** Τὴν ἐν πρεσβ. κλ.

## ΑΠΟΣΤΟΛΟΣ

*Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, ὅτι ἐπέβλεψεν εἰς τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.*

***Πρὸς Φιλιππισίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.***

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶνε ἴσα Θεῷ, ἀλλ' ἑαυτῷ ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεος αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, Ἀλληλούϊα.

## ΕΥΑΓΓΕΛΙΟΝ

***Ἐκ τοῦ κατὰ Λουκᾶ.***

Τῷ καιρῷ ἐκκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά. Γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἥ, καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. Ἡ δὲ Μάρθα, περιεσπᾶτο περὶ πολλὴν διακονίαν ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζεις περὶ πολλὰ ἑνὸς δέ ἐστι χρεία. Μαρία, δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Ἐγένετο

δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ. Μακαρία ἡ κοιλία ἡ βαστάσά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦν γε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

*Εἰς τὸ Ἐξαιρέτως*

*Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.*

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σώζεις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

*Κοινωνικόν,*

*Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.*

*Ἀλληλούϊα,* *Εἶτα*

Εἴδομεν τὸ φῶς τὸ ἀληθινὸν ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὐτὴ γὰρ ἡμᾶς ἔσωσεν.

## ΟΜΙΛΙΑ ΕΙΣ ΤΗΝ ΣΕΒΑΣΜΙΟΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

*«Διὸ θνήσκουσα σὺν τῷ Υἱῷ ἐγείρει διαιωνίζουσα».*

Νέκρωσιν ἡ τῆς ζωῆς Μήτηρ δέχεται, καὶ τάφῳ τεθεῖσα, μετὰ τρίτην ἡμέραν εὐκλεῶς ἐξανίσταται, εἰς αἰῶνας τῷ Υἱῷ συμβασιλεύουσα, καὶ αἰτοῦσα τὴν τῶν πταισμάτων ἡμῶν ἄφεσιν.

Εἰς τὸν Παράδεισον ἡ νοερά σου ψυχή, ὡς θεοπρόστακτον Μαρία ἄχραντε, τοῖς Ἀποστόλοις ἐν φωνῇ, Παναγία παραδέδοται.

Μεγαλυνέσθω εὐφήμοις ᾠδαῖς ἡ Πάναγνος, μακαριζέσθω ἀξίως ἡ Παμμακάριστος, ὅτι νενέκρωται, καὶ ἐγήγερται πάλιν, ὡς Μήτηρ τοῦ Κυρίου, εἰς πίστωσιν ἐσχάτης, ἀναστάσεως ἣν ἐλπίζομεν.



Μυστήριον ἡ παροῦσα πανήγυρις... Ὅσιον τὸ σεπτὸν τῆς Θεοτόκου καταλείφασι τέμενος. Φήμη καλὴ καὶ ἀγαθή.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θέλων νὰ παραλάβῃ τὴν Ἁγίαν του Μητέρα ἐν ἑαυτῷ ἐφανέρωσεν πρὸ τριῶν ἡμερῶν δι' Ἀγγέλου Γαβριὴλ τὴν ἀπὸ γῆς εἰς Οὐρανὸν αὐτῆς Μετάστασιν. Λέγων· ἦλθεν ὁ καιρὸς νὰ παραλάβω πλησίον τὴν Μητέρα μου. Ὅθεν μὴ ταραχθῇς διὰ τὸ τοιοῦτον μύνημα, ἐπειδὴ μεταβαίνεις εἰς ζωὴν ἀθάνατον. Τοῦτο μαθοῦσα ἡ Θεοτόκος ἐχάρη χαρὰν μεγάλην, καὶ φλεγομένη ὑπὸ τοῦ πόθου, ἀνέβη μετὰ προθυμίας εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἵνα προσευχηθῇ, διότι εἶχε τοιαύτην συνήθειαν ἡ Πανύμνητος νὰ ἀναβαίνῃ συχνὰ εἰς τὸ ὄρος τοῦτο. Ἔγεινε δὲ τὸ ἑξῆς θαῦμα. Αἱ κορυφαὶ τῶν δένδρων ἔκλιναν κάτω τὰς κορυφάς των ἀποδίδοντες σεβασμὸν καὶ τιμὴν εἰς τὴν Κυρίαν καὶ Δέσποιναν τοῦ κόσμου.

Ἀφοῦ ἐπροσευχήθη ἡ Πανάχραντος καὶ ἦλθε εἰς τὴν οἰκίαν της, ἐσείσθη ὅλη ἡ οἰκία...

Ἔπειτα ἀνάψασα φῶτα εὐχαριστήσασα τὸν Θεόν, ἐκάλεσε τοὺς γείτονας καὶ συγγενεῖς αὐτῆς καθαρίζει τὸν οἶκόν της, εὐτρεπίζει τὸ νεκροκράββατον, ἑτοιμάζει ὅλα, τὰ πρὸς τὴν ταφὴν ἀναγκαῖα.

Φανερώνει δὲ εἰς πάντας τοὺς λόγους ὅπου τῆς εἶπεν ὁ Ἄγγελος, καὶ τοὺς δεικνύει τὸ χαροποιὸν κα νικητικὸν σημεῖον κλάδου φοίνικος ὅπου ἔλαβεν ἐκ χειρὸς τοῦ Ἀγγέλου.

Ἀκούσασαι τὸ λυπηρὸν τοῦτο γεγονὸς ἐθρήνουν ἅπαντες παρακαλῶντες τὴν Κυρίαν Δέσποιναν νὰ μὴ τοὺς ἀφήσῃ ὀρφανούς, ἔβρεχον τὴν γῆν μὲ θερμὰ δάκρυα, ὀδυρόμενοι. Λέγει ἡ Θεοτόκος· Παύσατε τέκνα μου τοὺς θρήνους, ἐγὼ θὰ εἶμαι μὲ ἐσᾶς νὰ σᾶς διαφυλάττω, καθὼς καὶ ὅλον τὸν κόσμον, βεβαιώνων, ὅταν μετασταθῇ εἰς τοὺς Οὐρανούς, θέλει εἶναι πάντων παρηγορία καὶ προστάτης.

Ἔπειτα διώρισεν ἡ Πάναγνος νὰ δώσουν εἰς δύο πτωχὰς χήρας τὰ δύο αὐτῆς φορέματα, ὅπου ἦσαν σχετικαὶ καὶ ἐτρέφοντο ἀπὸ αὐτήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Ἀμέσως τὴν ὥραν ἐκείνην ἠκούσθη βροντὴ δυνατή, καὶ νεφέλαι συνεπυκνώθησαν ἐκεῖ πολλαί, αἱ ὁποῖαι ἥρπασαν τοὺς Ἀποστόλους ἀπὸ ὅλα τὰ πέρατα τῆς Οἰκουμένης καὶ τοὺς ἔφεραν εἰς τὴν οἰκίαν τῆς Θεοτόκου.

Μετὰ τῶν Ἀποστόλων ἦλθε καὶ ὁ Ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ Ἀπόστολος Τιμόθεος ὁ Ἅγιος Ἱερόθεος ὑπὸ νεφελῶν φερόμενοι. Οὗτοι αἰφνηδίως φερόμενοι μὴν γνωρίζοντες ἔμαθον ἐκ τοῦ στόματος τῆς Θεοτόκου τὴν αἰτίαν, ὅπου παραδόξως καὶ αἰφνηδίως συνήχθησαν, δοξάζοντες καὶ εὐγνωμονοῦντες τὸν Ὕψιστον Θεὸν καὶ τὴν Κυρίαν Θεοτόκον.

Καὶ ἔλεγον ταῦτα. Δέσποινα τοῦ κόσμου, παρηγορούμεθα βλέποντες τὸ οὐράνιον σου πρόσωπον, ὡς νὰ ἐβλέπομεν τὸν Υἱόν σου καὶ Διδάσκαλον ἡμῶν.

Ἐπειδὴ δὲ τώρα μεταβαίνεις εἰς τὰ Οὐράνια θρηνοῦμεν τὸν ἀποχωρισμόν σου. Λέγοντες οἱ ἱεροὶ Ἀπόστολοι μετὰ θερμῶν δακρύων εἰς τὴν Κυρίαν καὶ Δέσποιναν, ὅπου τοὺς ἐπαρηγόρησε, μὲ ὡραίους λόγους καὶ καλὰς συμβουλάς. Ὦ φίλοι καὶ Μαθηταὶ τοῦ Υἱοῦ μου καὶ Θεοῦ, μεταβάλλεται τὸ πένθος εἰς χαράν, καὶ ἐνταφιάσατε τὸ σῶμά μου, ὡς ἐγὼ προετοίμασα τὸ νεκροκράββατον.

Ὅταν ἐτελείωσε τὴν ὁμιλίαν ἡ Θεοτόκος ἔρχεται ὁ θεόπνευστος Παῦλος, ὅστις πεσὼν εἰς τοὺς πόδας τῆς Παναγίας, ἀνοίξας τὸ στόμα του ἐξεφώνησε τόσα ὡραῖα ἐγκώμια εἰς τὴν θεομήτορα ὥστε δὲν περιγράφωνται. Λέγων· Χαῖρε ὦ Μῆτερ τῆς ζωῆς, βλέπων τὸ οὐράνιον σου πρόσωπον, ἐνόμιζον ὅτι βλέπω τὸν μονογενῆ σου Υἱόν, ἐπειδὴ δὲν ἠξιώθην νὰ τὸν ἴδω σωματικῶς ἐπὶ τῆς γῆς.

Μετὰ ταῦτα ἀποχαιρετᾶ ὅλους ἡ Παρθένος ἀνακλίνεται ἐπὶ τοῦ κρεββάτου σχηματίζει τὸ πανάχραντον αὐτῆς Σῶμα καθὼς ἠθέλησε, προσφέρων εὐχὰς καὶ δεήσεις εἰς τὸν Υἱόν της, ὑπὲρ εἰρήνης τοῦ κόσμου δίδει τὰς εὐλογίας της εἰς τοὺς θείους Ἀποστόλους καὶ Ἱεράρχας, καὶ παραδίδει τὴν ὁλόφωτον καὶ παναγίαν αὐτῆς ψυχὴν εἰς χεῖρας τοῦ Υἱοῦ καὶ Θεοῦ της.

Λαβόντες οἱ θεῖοι Ἀπόστολοι τὸ Σῶμα τῆς θεομήτορος προπέμποντες εἰς τὸν τάφον μὲ ψαλμοὺς καὶ ὕμνους



ἐπλήρουν ὅλην τὴν ἀτμοσφαῖραν εἰς φωνὰς τῶν ἀσωμάτων Δυνάμεων, κρατοῦντες λαμπάδες καὶ φῶτα εἰς τὰς χεῖράς των. Φθάσαντες εἰς τὸ χωρίον Γεσθημανῆ ἐνταφίασαν τὸ Σῶμα τῆς Θεοτόκου, προσμένοντες ἐπὶ τρεῖς ἡμέρας, ὅπου ἤκουον ὕμνους καὶ μελωδίας τῶν Ἀγγέλων. Ἀνοίξαντες τὴν τρίτην ἡμέραν εὗρον κενὸν τὸν τάφον, ὅπου ἦλθε κατὰ θείαν οἰκονομίαν ὁ Ἀπόστολος Θωμᾶς, ἵνα προσκυνήσῃ τὸ Σῶμα τῆς Θεοτόκου, καὶ εὗρον μόνον τὴν Σινδόνα, ὡς παραμυθίαν διὰ τὴν λύπην τῶν Ἀποστόλων.

Ἀλλ' ὦ Θεοδόξαστε Κόρη, Πανάσπιλε Μαριάμ, ἡ ἀθάνατος καὶ μήτηρ τῆς ζωῆς, ἡ ἀνερχομένη εἰς τοὺς Οὐρανοὺς μετὰ ἀΰλων Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ κηδευομένη ὑπὸ τῶν θείων καὶ ἱερῶν Ἀποστόλων καὶ Ἱεραρχῶν, ἱκέτευσον εἰς τὸν οὐράνιον Βασιλέα καὶ Υἱόν σου, ὅπως ἀνασπάσει ἐκ ριζῶν τὰς ἡμετέρας ἁμαρτίας, ἐπίβλεψον Πανάχραντε Δέσποινα εἰς τοὺς αἰχμαλώτους δούλους σου Χριστιανούς, εἰς τὴν πολυχρόνιον τυρανίαν τοῦ διαβόλου, ὅπου καθ' ἡμέραν μᾶς πολεμεῖ ὁ ἀντίχριστος νὰ μᾶς ρίψῃ εἰς τὴν αἰώνιον κόλασιν· ἀξίωσον ἡμᾶς ὦ οὐρανία Νύμφη καὶ Παρθένος, καθὼς ἀσπαζόμεθα τὴν Ἁγίαν σου Εἰκόνα καὶ σὲ ἑορτάζομεν τὴν Ἁγίαν σου Κοίμησιν, οὕτω καὶ μετὰ θάνατον νὰ ἴδωμεν τὸ σεβάσμιόν Σου πρόσωπον νὰ ἀπολαύσωμεν τὸν Παράδεισον, νὰ προσκυνοῦμεν τὴν δόξαν Σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

---

## Ο ΠΟΛΥΕΛΕΟΣ
## ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Πᾶσα ἡ γῆ Ἀλληλούϊα.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ Ἀλληλ.

Ἄσατε, καὶ ἀγαλλιᾶσθε καὶ ψάλετε Ἀλληλ.

Ἀλλαλάξατε ἐνώπιον τοῦ Βασιλέως Κυρίου Ἀλληλ.

Ἐν πόλει Κυρίου τῶν Δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν Ἀλληλ.

Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ Ἀλληλ.

Ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιὼν Ἀλληλ.

Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα Ἀλληλ.

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται Ἀλληλ.

Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος Ἀλληλ.

Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ Ἀλληλ.

Ὄρος Σιὼν τοῦτο, ᾧ κατεσκήνωσας ἐν αὐτῷ Ἀλληλ.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι Ἀλληλ.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω Ἀλληλ.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου Ἀλληλ.

Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιὼν Ἀλληλ.

Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρα σου Ἀλληλ.

Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ μετὰ δόξης προσελάβου με Ἀλληλ.

Κύριε εἰς χεῖράς σου παραθήσομε τὸ πνεῦμά μου Ἀλληλ.

Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ Ἀλληλ.

Ἐν φωνῇ ἀγαλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντες Ἀλληλ.

Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου Ἀλληλ.

Χορτασθήσομαι, ἐν τῷ ὀφθῆναι μὲ τὴν δόξαν σου Ἀλληλ.

Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ Ἀλληλ.

Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου Ἀλληλ.

Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ Ἀλληλ.

Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ Ἀλληλ.

Ἀνάστηθι Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου Ἀλληλ.

Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ Ἀλληλ.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε εἰς μακρότητα ἡμερῶν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα καὶ νῦν. Ἀλληλούϊα.



# Ο ΕΠΙΤΑΦΙΟΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

## ΣΤΑΣΙΣ Α'.

Ἡ ζωὴ ἐν τάφῳ κατετέθης ἁγνή, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, τὴν μετάστασιν δοξάζουσαι τὴν σήν.

Ἡ ζωὴν τεκοῦσα καὶ ἀκήρατον φῶς, πῶς ἐν τάφῳ σκοτεινῷ κατατίθεται, ἡ τὸν Ἥλιον ἐκλάμψασα Χριστόν.

Μεγαλύνομέν σε, τὴν μητέρα Θεοῦ, καὶ τιμῶμεν τὴν ἁγίαν σου Κοίμησιν, ἣν ὑπέστης κατὰ νόμον τῶν βροτῶν.

Ἔμεινεν ἐν τάφῳ, οὐδαμῶς Μαριάμ, μέχρι τέλους τὸ πανάγιον Σῶμά σου, ἀλλ' ἀνέστη οὐκ ἰδὼν διαφθοράν.

Ἰησοῦς ὁ μέγας, Βασιλεὺς τοῦ παντός, γέρας τοῦτο ὡς μητρί σοι ἐβράβευσε, τῆς πανάγνου γὰρ προσῆλθε σου γαστρός.

Ὁ δεσπότης πάντων, κατελθὼν ἐπὶ γῆς, ὡς ποτὲ μετὰ σαρκὸς ἐπεδήμησεν, ὅπως λάβῃ τὴν ἁγίαν σου ψυχήν.

Μετὰ μυροφόρων τῶν σεπτῶν γυναικῶν, καὶ τῶν θείων ἀποστόλων, πανάχραντε, νῦν κυκλοῦμεν τὴν σὴν κλίνην νοερῶς.

Ἡ ὡραία κάλει παρὰ πάντας βροτούς, ἡ τὴν φύσιν τοῦ παντὸς ὡραΐσασα, τῷ σῷ τόκῳ, πῶς κηδεύει ὡς νεκρά;

Ἅδης πῶς ὑπείσει, μῆτερ τοῦ Θεοῦ ἀληθῶς, τὴν ἀπρόσιτον καὶ θεΐαν σου ἔλαμψιν, καὶ μὴ θᾶττον τυφλοθείη σκοτισθείς.

Μαριὰμ ὁ λόγος, τοῦ Θεοῦ καὶ πατρός, κατασκήνωσεν ἐν σοί, καὶ ἐσώσατο ἐκ τοῦ ᾅδου, γένος ἅπαν τῶν βροτῶν.

Ἀπορεῖ καὶ φύσις, νοερὰ καὶ πληθύς, ἡ ἀσώματος Χριστοῦ τὸ μυστήριον, ὃ ἐτέλεσεν ἐν σοὶ ὑπερφυῶς.

Ὢ θαυμάτων ξένων, ὢ πραγμάτων καινῶν! ἃ ἐν σοὶ παρθενομήτωρ τεθέαται, τελεσθέντα ἐν ἀχράντῳ σου γαστρί.

Καὶ ἐκ γῆς μετέστης, καὶ ἡμῶν μηδαμῶς, τῶν πιστῶν καὶ ἱκετῶν σου ἀφέστηκας, ἀλλὰ σκέπης καὶ φυλάττεις νοερῶς.

Ἀληθὴς καὶ πόλου, καὶ τῆς γῆς βασιλεύς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλισαι, πάσει κτίσει ἀναδέδειξε σημνή.

Σοῦ τεθείσης κόρη, ἐν μνείῳ κτιστῷ, πᾶσα βρότειος οὐσία ἐθάρρυνεν, ὑποστύναι τοῦ θανάτου τὸ πικρόν.

Ἐκ φθορᾶς ἀνέβη, ἡ ζωὴ τῶν βροτῶν, σοῦ ἐν τοῖς ἀγλόσι φυτίσαντος, τῆς ζωῆς καὶ τοῦ θανάτου χορηγοῦ.

Ὡς φωτὸς λυχνία, ἡ ἐπτάφωτος σύ, φέγγεις τοῖς πιστοῖς εἰς ἀπάθειαν, ἐκδιώκουσα παθῶν τὸν σκοτασμόν.

Νοερῶν συντρέχει στρατιῶν πληθύς, τοῖς σεπτοῖς καὶ ἱεροῖς θεοκήρυξι, τοῦ κηδεῦσαί σου τὸ σῶμα ὦ Ἁγνή.

Νεκρωθεῖσα κόρη, καὶ τεθεῖσα ἐν γῇ, ζωοπάροχον τὸν τάφον σου ἔδειξαι, τοῖς γερέρουσιν αὐτὸν πανευλαβῶς.

Τῆς ζωῆς τὴν πέτραν, τὴν ἀκρότομον σύ, ἐκ νυδίος σου ἁγνὴ ἀπεκυάσας, καὶ ἰξίφανας τοῦ κόσμου τὴν ζωήν.

Ἐπὶ τῆς γῆς κατῆλθεν, ἵνα σώσῃ Ἀδάμ, Ἰησοῦς ὁ ζωοδότης καὶ ᾤκισεν, ὥσπερ πόκος, ἐν τῇ μήτρᾳ του Ἁγνή.

Συγκλονίσθω φόβῳ, πᾶσα γλῶσσα κακή, ἥτις τολμηρῶς καταφθέγγεται, τῆς (πᾶσα γλῶσσα) πανάγνου τοῦ Θεοῦ ἡμῶν Μητρός.

Ὡς θνητὴ μὲν θνήσκεις, ὑπὸ νόμον σαρκός, ὡς Θεοῦ δὲ μήτηρ ἀφ' ἡμῶν ὑπερίπτασαι, καταπαύουσα χερσὶ τοῦ σοῦ υἱοῦ.

Δακρυρόους θρήνους. Ἀποστόλων χορός, καὶ ἱεραρχῷ ὁ πανίερος, ἐπιρένων ἀνεβόα γοερῶς.

Ὥσπερ ἦσο μήτηρ, ἐπὶ γῆς μεθ' ἡμῶν, μὴ ἐάσῃς ὀρφανοὺς καὶ ἤδη ἡμᾶς, μετὰ τὴν δε δὲ τῆς σαρκὸς ἀποδημίαν σου.

Ὑπὸ γῆν ἐκρύβης, ὡς Σελήνη ὠχρά, ἀλλ' ἀνέτειλας ἡλίου φαιδρότερον, μεθ' ἡμέρας τρεῖς φωτίζουσαι ἡμᾶς.

Ἡ ζωὴ τεκοῦσα, πῶς ὁρᾶται νεκρά; ἐκπληττόμενοι οἱ Ἄγγελοι ἔλεγον, πῶς δ' ἐν μνήματι ἐγκλείεται σμικρῷ.

Νεκρωθέντα πάλαι, τὸν Ἀδὰμ φθονερῶς ἐπανάγῃς πρὸς ζωὴν ἐν τῷ τόκῳ σου, καὶ γὰρ τέτοκας προάναρχον Θεόν.

Νοεραὶ σε τάξεις, ἡπλωμένην νεκράν, καθορῶσαι πρὸς ἀλλήλας ἐφθέγγοντο πῶς θανάτῳ ἡ ἁγνὴ προσομιλεῖ.

Κατελθόντες πάντες, μαθητῶν ὁ χορός, ἐν μνημείῳ σοῦ τὸ σκῆνος, τὸ ἄχραντον, προσπισόμενοι κατέθεντο σεπτῶς.

Τῶν ἀγγέλων τότε, στρατιαὶ ἀληθῶς, οὐ διέλιπον τὸν τάφον κυκλούμεναι τῆς πανάγνου, τοῦ Ἐμμανουὴλ μητρός.

Φύσις ἄλλη τούτων, τὰ φρικτὰ χερουβίμ, τίς ὡς ὄρθρος αὕτη ἔλεγον ἀναβαίνουσα, εἰς παστάδας οὐρανοῦ βασιλικάς;

Ὑψωθεῖσαν φύσιν, τοῦ ἀνθρώπου ποτέ, καὶ εἰς ᾅδου ζόφον ἔπειτα εἰσικίσασαν, θείῳ τόκῳ σου ἀνύψωσας Ἁγνή.

Ὡς τρυγὼν ὡραία, χρυσοπτέριξ σεμνή, τοῦ Θεοῦ πεποικιλμένη ταῖς χαρισι, σὺ ἀνέπτης εἰς τὴν θείαν καλιάν.

Τίς ἐξείποι τρόπον, φρικτὸν ὄντως καινοῦ, μυστηρίου ὃν ἐν σοὶ διαπέπρακται, τῆς κενώσεως Θεοῦ ἐν τῇ σαρκί;



Ἀλλοχεύτου κόρης, σοῦ ἐξῆλθεν υἱός, τέλφος Θεός τε καὶ ἄνθρωπος, ὢν τὴν φύσιν κατ' ἀλήθειαν διπλῆς.

Ἀπλωθεῖσα τάφῳ, συνηγάγῳ βροτούς, πάντας τοὺς πιστοὺς εἰς προσκύνησιν, ἐν ᾧ τέθαψαι ἡ θεία κιβωτός.

Ὁ εὐσχήμων μῆτερ, τῆς ζωῆς τοῦ παντός, ἀποστόλων ὁ χορὸς συναθροίζεται, τοῦ κηδεῦσαι εὐσχημόνως σὸν νεκρόν.

Ὑπὸ γῆν βουλήσει, τοῦ Θεοῦ καὶ πατρὸς ὡς τοῖς νόμοις ἐνοιδοῦσα τῆς φύσεως, ὑποκύπτεις, ἀλλ' ἐκτὸς διαφθορᾶς.

Κᾂν νεκρὰ ὡράθης, ἀλλὰ ζῇς ἐν Θεῷ, ὑπὸ πάσης ὑμνουμένη τῆς κτίσεως, καὶ παρέχεις εὐλογίαν τοῖς πιστοῖς.

Ὢ χαρᾶς ἐκείνης, ὢ πολλῆς ἡδονῆς, ἧς ἀπήλαυσες θεόνυμφε δέσποινα, μεταβᾶσα ἐν τοῖς κόλποις τοῦ υἱοῦ.

Προσκυνῶ τὸν τάφον, ΣοῦΠαρθένε ἁγνή, καὶ γεραίρω τὴν ταφήν σου τὴν ἔνδοξον, ἣν ὑπέστης κατὰ φύσιν ὡς θνητή.

Κᾂν ἐνθάπτῃ τάφῳ, κᾂν εἰς ᾅδου μολλῆς, ἀλλὰ σὺ τοὺς ἐν ᾅδῃ ἀνέστησας, λυτρωτὴν ἀποτεκοῦσα τὸν Χριστόν.

Τῆς τριάδος ὁ εἷς, ἐσαρκώθη ἐν σοί, καὶ ἐνήργησε τὸ μέγα μυστήριον, ἀναπλάσεως τοῦ γένους τῶν βροτῶν.

Ἐκ φυλῆς τοῦ Δαυΐδ, προωρίσθη ἡ σή, ἄχραντε νυδὶς ἡ κυήσασα, ἀπορήτως τὸν Μεσίαν καὶ Χριστόν.

Οἴμοι φῶς τοῦ κόσμου, ἡ κυήσασα σύ, πῶς ἐν τάφῳ ἀμυδρῷ κατατίθεσαι; Ἀποστόλων ἀνεβόα ὁ χορός.

Φθονουργὲ φονουργέ, καὶ ἀλάστωρ, λαέ, Ἰουδαίων τί παθῶν ἀπεπείρασα, τὴν Παρθένον καταρρίψας τῆς σοροῦ.

Δεῦρο δὴ μιαρέ, φθονερὲ τολμητά, Ἰουδαῖε ὅπως λήψῃ τῆς τόλμης σου, τὰ ἐπίχειρα, τομή, τῆς σῆς χειρός.

Ὡς φιλάνθρωπος πλήν, ἡ παρθένος ἁγνή, τὴν σὴν χεῖρα πάλιν ἰάσατο, τῇ πρεσβείᾳ τῶν ἐνδόξων μαθητῶν.

Ὢ παρθενομήτωρ, ὢ χαρὰ ἡ ἐμή, πῶς ἐνέγκω σου ταφὴν καὶ τὸν θάνατον; Σίμων Πέτρος ἀνεβόα γοερῶς.

Τίς μοι δώσει ὕδωρ, καὶ δακρύων πηγας, Παῦλος θεοκήρυξ ἐκραύγαζεν, ἵνα κλαύσω τῇ μητρὶ τοῦ Ἰησοῦ;

Ὢ βουνοὶ καὶ νάπαι, καὶ ἀνθρώπων πληθύς, κλαύσατε καὶ πάντα θρηνήσατε, ἀνεβόων Ἀποστόλων ὁ χορός.

Πότε Θεοτόκε, ἴδοι μεν οἱ πιστοί, τὸ ἀκήρατονκαὶ ἄχραντον κάλλος σου, ὃ ὑπάρχει τῶν Ἀγγέλων χαρμονή.

*Δόξα.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΙΣΤΟΡΗΣ ΠΑΠΑ

Ἀνυμνοῦμεν λόγε, σὲ τὸν πάντων Θεόν, σὺν πατρί, καὶ τῷ ἁγίῳ σου πνεύματι, καὶ δοξάζομεν τοὺς τρεῖς ἕνα Θεόν.

*Καὶ νῦν.*

Μακαρίζομέν σε Θεοτόκε ἁγνή, καὶ τιμῶμεν τὴν ἁγίαν σου Κοίμησιν, ἣν κεκοίμησαι σαρκὸς ἄνευ φθορᾶς.

## ΣΤΑΣΙΣ Β΄.

Ἄξιον ἐστί, μεγαλύνειν σε τὴν Θεοτόκον, τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ.

Ἄξιον ἐστί, μεγαλύνειν σε εὐλογημένη, τὴν τὸν Θεὸν λόγον χωρήσασαν, ἐν ἀχράντῳ σου γαστρὶ παρθενικῶς.

Ἔφριξεν ἡ γῆ, καὶ ἀσώματος πᾶσα ἡ φύσις, πῶς ἡ θεία φύσις κεκένωται, καὶ ἠνόκισεν ἐν σοὶ ὑπερφυῶς.

Μόνη γυναικῶν, χωρὶς πόνον ἔτεκες σὸν τόκον, σπίλου γὰρ χωρὶς ὡς συνέλαβες, οὕτω πάναγνε ἀπέτεκες αὐτόν.

Γῆς ὁ καταρχάς, μόνῳ νεύματι πύξας τὸν γύρον, ἔμβριον ἐν σοὶ διαπλάττεται, καὶ μορφοῦται φύραμα τὸ καθ᾽ ἡμᾶς.

Ἄνω ὁ πατήρ, ἐφωρᾶτο εὐδοκῶν σοι κόρη, κάτω ὁ υἱὸς ἐσαρκοῦτο σοι, τὸ δὲ πνεῦμα ἐπισκίαζεν ἐν σοί.

Ὕπνωσας ἁγνή, ἐν θανάτῳ ὡς καὶ ὁ υἱός σου, ἀλλὰ ὡς ἐξ ὕπνου ἐξήγειρεν, ἐκ τοῦ τάφου, σοῦ τὸν ἄχραντον ναόν.

Ἔδυς ὑπὸ γῆν, ἡ τὸν ἄνθρωπον ἐκ τῆς γῆς πλασθέντα, καὶ γῆς φθορὰν ὑποκείψαντα ἀνεγείρασα τῷ τόκῳ σου σεμνή.

Θρῆνον ἱερόν, δεῦτε ᾄσωμεν τῇ Θεοτόκῳ ὡς τὸν ἀποστόλων χορὸς τὸ πρίν, ἵνα μετὰ τούτων δοξασθῶμεν ἐν οὐρανοῖς.

Μύρον ἀληθῶς, σὺ ὑπάρχεις ἄχραντε παρθένε, ὡς τὸν κόσμον πάντα μυρίσασα, τὸν μυρίπνοον γεννήσασα Χριστόν.

Ἅδου τοὺς μοχλούς, καὶ βασίλεια κόρη συνθλάττει, ὅστις τῷ Υἱῷ σου πεπίστευκε, καὶ τιμᾷ πανευλαβῶς καὶ σέ, αὐτήν.

Ῥεῖθρον τῆς ζωῆς ἡ κυήσασα Θεοῦ σοφίαν, τὴν ἐμὴν καρδίαν κατάρδευσον, ξηρανθεῖσα τῆς κακίας τῷ αὐχμῷ.

Ἵνα τὴν βροτῶν καινουργήσῃ φύσιν ὁ υἱός σου, συντριβῖσαν φθόνῳ τοῦ ὄφεως, οὐρανόθεν κατεσκίνωσεν ἐν σοί.



Κόκος διφυής, ὁ φυσίζοος σοῦ τοῖς λαγῶσι, ἐν ἁγίῳ πνεύματι ἔσπαρται, καὶ ἐβλάστησε τοῦ κόσμου τὴν ζωήν.

Ἔπτηξεν Ἀδάμ, Θεοῦ βοῶντος ἐν Παραδείσῳ καὶ φρικτὴν ἀρὰν ἀπαγγείλαντος, ἀλλ᾽ ἐνθάρρυνε τὸ σπέρματι τῷ σῷ.

Σπένδει σοι χορός, ὁ σεπτὸς τῶν ἀποστόλων δῆμος, ἱερῶν δακρύων τοὺς ὀχετούς, κατασπονδουμένους τῇ σῇ ταφῇ.

Τάφῳ ἱερῷ, ὅτι ἐνέκρυπτον τὸ θεῖον σκῆνος, σοῦ τῆς παναμώμου Θεοῦ μητρός, ὕμνους ἐμελῴδουν θεοπρεπεῖς.

Ἥλιος ὁ πρίν, τὰς ἀκτίνας ἀποκρύψας τόκε, ἐν τῷ θείῳ πάθει τοῦ τόκου σου, ἐθαμβοῦτο τεθνηκυῖαν σε ὁρῶν.

Σοὶ τὸν γλυκασμόν, τῶν ψυχῶν ἡμῶν ἀποτεκούσει, εὐλαβείας δάκρυα χέομεν, ὅπως εὕρομεν γλυκύτητα δεινῶν.

Τέτρομε δεινῶς, ἰοβόλῳ βέλη ἁμαρτίας, ἀλλὰ τῆς ψυχῆς μου τὰ τραύματα, σὺ θεράπευσον ἰάτρεια πιστῶν.

Ὄμμα τὸ γλυκύ, καὶ πανίερόν σου Θεοτόκε, πρὸς τὸν σὸν υἱὸν ἐνατένισον, ὅπως ἵλεως γενίσεται ἡμῖν.

Ὕμνους ἱερούς, ὁ χορὸς τῶν θείων ἀποστόλων καὶ ἱεραρχῶν τε ὁ σύλλογος, ᾄδει σοι, σὺν τούτοις καὶ σεραφείμ.

Δύνεις ὑπὸ γῆν, ἡ τῷ ὄντι νοητὴ σελήνη, ἡ τὸν μέγαν ἥλιον λάμψασα, τοῖς ἐν σκότει καθημένους τῶν βροτῶν.

Ἔφριξεν ἰδών, αἴφνης ᾅδης σε τὴν φωτοδότην καὶ ξενίσας οἴμοι ἐκραύγαζε, πόθεν τοῦτό μοι τὸ ξένον ὅλως φῶς!

Ἥλιος φαιδρόν, ἀπαστράπτει μετὰ νύκτα, κόρη, σοῦ δ᾽ αἱ ἀρεταὶ ἀπαστράπτουσι, φῶς φαιδρότερον ἐν γῇ καὶ οὐρανῷ.

Γῆ σε τοῦ φωτός, τὴν μητέρα κόλπους δεξαμένη, τρόμῳ συσχεθεῖσα ἀνέδωκεν, ἀδιάφθορον τὸ σῶμά σου ἁγνή.

Μύροις ἀρετῶν, καὶ ἀρώμασι πράξεων θείων, δὸς ἡμῖν παρθένε θεόνυμφε, τοῦ μυρίζειν σου τὸν τάφον τὸν σεπτόν.

Λίθος λαξευτός, σοῦ ἐκάλυψεν ἁγνὴ τὸ σῶμα ἀλλὰ τριήμερος ἐγείγερται, ὡς τοῖς θείοις ἐθεάθη μαθηταῖς.

Δύδιμος Θωμᾶς μετεώρως ἤρθη ἐν αἰθέρι, ἐπὶ νεφελῶν ἐποχούμενος, συναντήσας σοι συσσόμῳ καθ᾽ ὁδόν.

Ἰδὼν μαθητήν, τοῦ υἱοῦ σου τὸν πεφιλημένον, δύδιμος Θωμᾶς ἀνεβόησεν, ἡ παρθένος ἐξηγέρθη τῶν νεκρῶν.

Σὺ ὡς τῆς ζωῆς, χορηγὸν κυήσασα παρθένε, τάφῳ ὡς θνητὴ οὐκ ἐνέμεινας, ἀλλ᾽ ἠγέρθης ἐν ἡμέρᾳ τῇ τριτῇ.

Κάλλος τὸ λαμπρόν, καὶ τὸ εἶδός σου οὐκ ἐμαράνθη καίπερ νεκρωθείσης σου τῆς σαρκός, ἀλλ' ἐτήρησας ἀλώβητον αὐτό.

Ἔδυ ὑπὸ γῆν, ἡ λαμπρόφωτος χρυσῆ σελήνη, καὶ τὸ θεῖον φῶς σου κατηύγασε, κενεῶνας ὑπὸ γῆν τοὺς ζοφερούς.

Ἔδέ σε Ἁγνὴ ὡς θεόνυμφον Θεοῦ μητέρα, θείων ἀποστόλων ὁ θίασος, κἂν ὑπτίαν ἔψαυον ταῖς χερσίν.

Ὕπνωσεν Ἀδάμ, τὸν πολύστενον ἐκεῖνον ὕπνον Εὔας γυναικὸς πικροῦς ῥήμασιν, ὑπακούσας, παρακούσας δὲ Θεοῦ.

Ὕπνωσας μικρόν, ἀλλ' ἠγέρθης ὡς τὸν πεπτωκότα, ἡ προωρισθεῖσα ἀνήγειρας ἐκ νεκάδων θείῳ τόκῳ σου ἁγνή.

Ἤρθης ἀπὸ γῆς, ἀλλ' οἰκεῖς ἐν τοῖς ὑψίστοις δόμοις, τοῦ προαιωνίου Θεοῦ ἡμῶν, καὶ διέπεις διασῴζουσα πιστούς.

Πῶς οἱ νοεροί, ταγματάρχαι φύσεων ἀΰλων, τοῦ παντὸς τὴν ἄνασσαν βλέποντες, ἀναβαίνουσαν προέπεμπον ἁγνή.

Τίς ἡ ἐκλεκτή, νύμφη αὕτη ἡ ἀπὸ Λιβάνου, ἡ ταῖς εὐωδίαις τοῦ πνεύματος, ἔλεγον ἀρωματίζουσα τοὺς πιστούς;

Ἀραβιανόν, σκολιώτατον γένος ἑβραίων, ἔγνως τὴν ἀνέγερσιν τοῦ Χριστοῦ, πῶς κατεπειράθης μητρὸς αὐτοῦ;

Ὡς περιστερά, τὸ κατάλευκον τῆς παρθενίας, περιβεβλημένη θεόνυμφε, ἐπετάσθη ἡ ἁγία σου ψυχή.

Θεῖος Γαβριήλ, ὡς ποτὲ Ναζαρὲτ τῇ πόλει, ἦλθεν ἀπαγγεῖλέ σοι τὴν ταφήν, καὶ ἐν τῷ χωρίῳ Γεσθημανῆ.

Ἔφριξεν ἰδών, τὸ ἀκήρατον φῶς σου παρθένε, ᾅδης ὁ παμφάγος καὶ ἔκραξεν οἴμοι πῶς ἠλλοίωμαι τὴν μορφήν!

Ἔκλαιε πικρῶς, ἡ χορεία ἡ τῶν μυροφόρων, ὅτε ἐν τῷ τάφῳ ἑώρακε, σὲ τὴν ἄσπιλόν μητέρα τοῦ Θεοῦ.

Νέκρωσιν τὴν σήν, πῶς ὑποίσω πάναγνε παρθένε, ἡ σεπτὴ χορεία ἐφθέγγετο, γυναικῶν τῶν τοῦ Χριστοῦ μαθητριῶν.

Μέγα καὶ φρικτόν, ὄντως θέαμα νῦν καθορᾶται, ἡ τὸν Θεὸν λόγον γενήσασα, πῶς ἐν μνήματι ὁρᾶται ὡς νεκρά;

Ὕμνοις καὶ ᾠδαῖς, ἐξοδίους ᾄδομέν σοι κόρη, καὶ τὴν σὴν ταφὴν ἐκθειάζομεν, οἱ τῷ τόκῳ σου σωθέντες τῶν δεινῶν.

*Δόξα.*

Ἄναρχε Θεέ, συναΐδιε Λόγε, καὶ πνεῦμα, σκῆπτρα τῶν ἀνάκτων κραταίωσον, κατα πολεμίων ἐχθρῶν αὐτῶν.



***Καὶ νῦν.***

Τέξασα ζωήν, παναμώμητε ἁγνὴ παρθένε, παῦσον ἐκκλησίας τὰ σκάνδαλα καὶ εἰρήνευσον αὐτὴν ὡς ἀγαθή.

## ΣΤΑΣΙΣ Γ'.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου προσφέρουσι Παρθένε.
Κατελθὼν ὁ Πέτρος, ἐν τῷ σῷ μνημείῳ εὐσχήμως σὲ κηδεύει.
Μυροφόροι ἅμα, σὺν τοῖς ἀποστόλοις, ὕμνους σοι θρηνῳδοῦσι.
Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, οἴσομεν τῇ Παρθένῳ.
Ὡς νεκρὰν τὴν ζῶσαν, σὺν μυροφόροις πάντες ὑμνήσωμεν ἐνθέως.
Ἰωάννη θεῖε, Χριστοῦ ἠγαπημένε, κήδευσον τὴν Παρθένον.
Παῦλε σὺ τρισμάκαρ, σκεῦος ἐκλελεγμένον, ὕμνησον τὴν Παρθένον.
Ἱεράρχαι θεῖοι, μετὰ τῶν ἀποστόλων, ᾄσατε τῇ Παρθένῳ.
Οὓς ἔθρεψε τὸ μάννα, ἐκίνησαν τὴν χεῖραν, κατὰ τῆς Θεοτόκου.
Οὓς ἔθρεψε τὸ μάννα, πειρῶνται καταρρῆψαι, τὸ σῶμα, τῆς πανάγνου.
Ὢ τῆς παραφροσύνης καὶ τολμηρᾶς ἀνοίας, τῆς τῶν προφητοκτόνων.
Ὡς ἄφρων ὑπηρέτης, Σατὰν τοῦ διαβόλου ἔπραξας Ἰουδαῖε.
Τὸν ῥύστην ἡ τεκοῦσα, εἰς χλευασμὸν κατέστη, ἑβραίοις παρανόμοις.
Κατὰ τὸν Σολομῶντα, τὴν κλίνην σου κυκλοῦσι τῶν προφητῶν αἱ ῥήσεις.
Τοῦ Ἰακὼβ ἡ κλῖμαξ, ἡ σὲ προεκτυποῦσα, τὴν σήμερον ὑψοῦται.
Ἐν ταύτῃ τῶν ἀγγέλων, κατέρχονται χορεῖαι, περὶ τὸ σὸν μνημεῖον.
Τοῦ Ἀαρὼν ἡ ῥάβδος, ἄνθος ἀναφυεῖσα, σὲ κόρη προετύπου.
Βάτος τοῦ Μωϋσέως, ἡ μὴ καταφλεχθεῖσα, σὲ φανερῶς ἐδήλου.
Ὕπτιον ὁρῶσα, ἡ τῶν ἀΰλων φύσις, ἀγγελικῶς σοι ᾄδει.
Ὢ γλυκεία μήτηρ, Χριστοῦ τοῦ Θεοῦ λόγου, εὐλόγησον τὸν κόσμον.
Θρῆνον σὺν ἐκείνοις, προσᾴδουσι παρθένε, γυναῖκες μυροφόροι.
Πῶς θάνατον ὑπέστης, ἡ λυτρωσαμένη ἡμᾶς ἐκ τῆς κατάρας;
Πεπλάνηται ὁ πλάνος, ὁ πλανηθεὶς λυτροῦται, σοφία τοῦ υἱοῦ σου.
Πρὸς τὸν πυθμένα ᾅδου κατῆλθεν ὁ υἱός σου ἵνα ἡμᾶς λυτρώσῃ.
Τρίβολοι καὶ παγίδες, ἀδὰμ τοῦ πεπτωκότος ἐξέλιπον εἰς τέλος.
Πάντες οἱ λυτρωθέντες τῷ θείῳ τοκετῷ σου, ὑμνοῦμέν σε παρθένε.
Διαφθορᾶς εἰς φρέαρ, πάντες συναπολοῦνται, οἱ μὴ δοξάζοντές σε.
Υἱὲ Θεοῦ παντάναξ, δίδου ἡμῖν δοξάζειν, τὴν θείαν σου μητέρα.

Ἡ δάμαλις τὸν μόσχον, τὸν θεῖον ἡ τεκοῦσα, πῶς τάφῳ καθορᾶται ;
Σῶμα ζωηφόρον, καὶ ἄχραντον κηδεύει, χορὸς τῶν μυροφόρων.
Ἀνέκραζεν ὁ θεῖος χορὸς τῶν ἀποστόλων, ποῦ ἡ ἁγνὴ ἀπαίρει ;
Φῶς ἡ τῶν ὀφθαλμῶν μου, τεκοῦσα Θεοτόκε, ἐν τάφῳ πῶς καλύπτει.
Τὸν Ἀδὰμ καὶ Εὔαν, ἐλευθερωσαμένη, πῶς καὶ αὐτὴ νῦν θνήσκεις.
Δοξάζομεν Θεέ μου, τὴν θείαν σου μητέρα, ἐξ ἧς ἐσωματώθης.
Ὄξον τῆς ἁμαρτίας, ἐγλύκανας παρθένε, τὸν γλυκασμὸν τεκοῦσα.
Ἱκέτης τῷ υἱῷ σου, γενοῦ ἡμῖν παρθένε, τοῖς σὲ ἀνευφημοῦσιν.
Αἱ μυροφόροι πᾶσαι, ἐκήδευσαν ἐμφρόνως, τὸ πάνσεπτόν σου σῶμα.
Ἠγέρθης μετὰ ποτμόν, ὡς τὴν ζωὴν τεκοῦσα, καὶ κόσμου τὸν σωτῆρα.
Σπεῦσον ἐξελέσθαι, ἡμᾶς ἐκ διαβόλου, καὶ τῶν αὐτοῦ παγίδων.
Οὐράνιαι δυνάμεις, ἐξέστησαν ὁρῶσαι, σὲ τάφῳ ἡπλωμένην.
Ὢ φρικτὸν καὶ ξένον, θέαμα παρθένε, πῶς γῆ σε συγκαλύπτει.
Φέρουσα ἐν κόλποις, Θεὸν σαρκὶ τεχθέντα, ὡράθης Θεοτόκε.
Κλαίουσα θρηνήσθω, αἱρετικῶν ἡ φύσις, ἡ σὲ ἐξαρνουμένη.
Φρίττουσιν οἱ νόες, ταπείνωσιν τὴν ἄκραν, τοῦ θείου τοκετοῦ σου.
Ἔραναν τὸν τάφον, γυναῖκες τῆς παρθένου, αἱ μυροφόροι μύρους (ἐκ γ')
Εἰρήνην ἐκκλησίᾳ, λαῷ σου σωτηρίαν, δώρησαι Θεοτόκε. Δόξα
Ὢ Τριὰς Θεέ μου, Πατήρ, Υἱός, καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.
Καὶ νῦν
Τυχεῖν τῆς τοῦ Υἱοῦ σου, παρθένε βασιλείας ἀξίωσον σοὺς δούλους.

*Ἐνταῦθα ῥαίνει ὁ ἱερεὺς ἢ ὁ ἀρχιερεὺς ἢ παρουσιάζει, τὸν ἐπιτάφιον ἤτοι τὴν εἰκόνα τῆς Θεοτόκου, δι' ἀνθονέρου, ἢ ῥοδοστάμου, ψαλλομένου τοῦ τροπαρίου τούτου ἐκ τρίτου. (καὶ εὐθὺς τὰ παρόντα εὐλογητάρια).*

Εὐλογημένη πάναγνε, σῶζε πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθεῖσαν, τοῦ θανάτου δέ, ἁγνή, τὴν ἰσχὺν καθελοῦσαν, ἐν τῷ σῷ Υἱῷ, καὶ Ἀδάμ, ἐγείρασαν, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσασαν. Εὐλογημένη πάναγνε σῶζε.

Τί τῷ τάφῳ μάτην παρεδρεύητε, ὦ μαθήτριαι Κυρίου, ἐξαστράπτων τῶν ἀγγέλων ὅμιλος, προσεφθέγγετο ταῖς μυροφόροις, ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε, ἡ θεόνυμφος γάρ, ἐξανέστη τοῦ μνήματος. Εὐλογημένη πάναγνε.



Λίαν βραδύ, ὁ Θωμᾶς ἀφίκετο, πρὸς τὸ μνῆμα σου παρθενομήτωρ. ἐπιστὰς δὲ τοῖς λοιποῖς τῶν θείων ἀποστόλων, ἔλεγεν αὐτοῖς, ὦ φίλοι μὴ κλαίετε, ἡ παρθένος γάρ, ἐξηγέρθη τοῦ μνήματος. Εὐλογημένη πάναγνε.

Μυροφόρων χορεία, θρηνοδοῦσα ἐπέστη, πρὸς τὸ μνῆμά σου εὐλογημένη, ἐν τῷ κλαίειν δέ, ὡς νεκρά σοι ἐφώνει μήτηρ τοῦ Θεοῦ, ποῦ ἐγκαταλείπῃς με ; ἀλλ' ἐπλήσθη χαρᾶς, γνοῦσα σὴν ἐξέγερσιν. Δόξα.

Προσκυνοῦμεν πατέρα, καὶ τὸν τούτου υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς σεραφίμ, κράζοντες τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε. Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, τὸν Ἀδὰμ ἁμαρτίας ἐλυτρώσω Παρθένε, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντας ζωῆς, ἴθυνε πρὸς ταύτην ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεὸς (ἐκ γ')

---

## ΑΙ ΘΕΟΜΗΤΟΡΙΚΑΙ 5 ΕΟΡΤΑΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

***ὅπου γίνεται καὶ εἰς ἰχθύας κατάλυσις, πλὴν τῆς Ὑπαπαντῆς ἂν συμπέσῃ τὴν Καθαρὰν Δευτέραν, καταλύεται ἔλαιον καὶ τοῦ Εὐαγγελισμοῦ, τὴν Μεγάλην Ἑβδομάδα ἕως τὴν Μεγάλην Πέμπτην.***

### 1. Τὸ Γενέθλιον τῆς Θεοτόκου 8 Σεπτεμβρίου.

*Ἀπολυτίκιον Ἦχος Δ'.*

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ Σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεός· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

*Κοντάκιον Ἦχος Δ'.*

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου ἠλευθερώθησαν. Ἄχραντε ἐν τῇ Ἁγίᾳ Γεννήσει σου. Αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι. Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

*Μεγαλυνάριον.*

Δεῦτε προσκυνήσωμεν ἐν χαρᾷ καὶ ἀμέτρῳ πόθῳ τὴν πανάμωμον Γέννησιν τῆς Ἀειπαρθένου, ἐξ ἧς Χριστὸς ἐτέχθη τοῦ σύμπαντος ὁ Ἄναξ σῶσαι τὸν ἄνθρωπον.

### 2. Τὰ Εἰσόδια τῆς Θεοτόκου 21 Νοεμβρίου.

*Ἀπολυτίκιον Ἦχος Δ'.*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις ἐν Ναῷ τοῦ Θεοῦ, τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

*Κοντάκιον ὁ αὐτός. Ἦχος Ὁ ὑψωθείς.*

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν, συνεισάγουσα τὴν ἐν πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὐτὴ ὑπάρχει σκηνὴ ἐπουράνιος.

*Μεγαλυνάριον.*

Δεῦτε εὐφημήσωμεν εὐσεβῶς τὴν ἄμωμον Κόρην καὶ τροφὴν τῆς ζωῆς ἡμῶν, τὴν προσαγομένην ἐν τῷ Ναῷ Κυρίου, αὐτοῦ ἑτοιμασθῆναι εἰς οἰκητήριον.

### 3. Ἡ Ὑπαπαντὴ τοῦ Χριστοῦ 2 Φεβρουαρίου.

*Ἀπολυτίκιον. Ἦχος Α'.*

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.



*Κοντάκιον Ἦχος Α'.*

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεών, εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον βασιλεῖς, οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

*Μεγαλυνάριον.*

Σήμερον τῆς δόξης τὸν Κύριον, Συμεὼν ὁ πρέσβυς, ἐν ἀγκάλαις ἐδέξατο τὸν δοῦλόν σου κράζων, ἀπόλυσον οἰκτίρμων ὁ εὐδοκήσας σῶσαι γένος τὸ βρότειον.

### 4. Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου 25 Μαρτίου.

### 5. Ἡ Κοίμησις τῆς Θεοτόκου 15 Αὐγούστου.

*(Τὴν σχετικὴν ἀκολουθίαν βλέπε εἰς τὴν ἀρχὴν τοῦ βιβλίου).*

## Ο ΠΟΛΥΕΛΕΟΣ

### ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Τῷ Βασιλεῖ δὸς Ἀλληλούϊα.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ Υἱῷ τοῦ Βασιλέως. Ἀλληλούϊα.

Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχοὺς ἐν κρίσει. Ἀλληλούϊα.

Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Ἀλληλούϊα

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ἀλληλούϊα

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Ἀλληλ.

Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ. Ἀλληλούϊα.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἀλληλούϊα

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἀλληλ.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν στάζουσα ἐπὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὴν γῆν. Ἀλληλούια.

Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἀλληλούια.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών. Ἀλληλούια.
Ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούια.
Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη. Ἀλληλούια.
Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ἀλληλούια
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Ἀλληλουια
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς οὐ σαλευθήσεται. Ἀλληλούια

Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Ἀλληλούια

Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει Ἀλληλ.
Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς Ἀλληλ.
Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Ἀλληλούια.
Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου. Ἀλληλούια.
Καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός. Ἀλληλούια.
Καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός. Ἀλληλούια.
Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. Ἀλληλούια.
Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων Ἀλληλούια.
Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ. Ἀλληλούια
Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. Ἀλληλούια
Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. Ἀλληλούια

Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ἀλληλ.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος. Ἀλληλούια

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀλληλούια

Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.. Γένοιτο..Γένοιτο.. Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια.

*Δόξα Πατρί.*

Τὸν πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν κράζοντες καὶ λέγοντες· Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.



*Καὶ νῦν καὶ ἀεί*

Τὴν Μητέρα σου προσάγει σου, εἰς ἱκεσίαν ὁ λαός σου Χριστὲ ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθέ· ἵνα σὲ δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

Στίχ. Α΄. Ἀντίφωνα τοῦ Εὐαγγελισμοῦ Α΄.

Ὁ Θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ Βασιλέως.

Ταῖς πρεσβείας τῆς Θεοτόκου σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Β΄. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.

Ταῖς Πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. Γ΄. Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ταῖς Πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. Δ΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Ταῖς Πρεσβείαις τῆς Θεοτόκου. Δόξα καὶ νῦν. Τὸ αὐτό.

Ἀντίφωνον Β΄.

Στίχ. Α΄. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθεὶς ψάλλοντάς σοι Ἀλληλούια.

Στίχ. Β΄. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ κτλ.

Στιχ. Γ΄. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ κτλ.

Στιχ. Δ΄. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Δόξα πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ὑμετέραν σωτηρίαν, σαρκωθῆναι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐκ τῆς Ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος Δ΄.

Στιχ. Α΄. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν. Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Στιχ. Β΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον.

Στιχ. Γ΄. Εὐλογημένον τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον.

Εἰσοδικόν.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, πρεσβείαις τῆς Θεοτόκου, ψάλλοντάς σοι Ἀλληλούια.

Σήμερον τῆς Σωτηρίας ἡμῶν τὸ Κεφάλαιον.

Καὶ τὸ Κοντάκιον. Ἦχος Πλ. Δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, Χαῖρε νύμφη ἀνύμφευτε.

Τὸ Τρισάγιον.



## Ο ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον Ἦχος Γ΄.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

***Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.***

Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνομαι ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων. Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίαις ὑμνήσω σε. Καὶ πάλιν. Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτοῦ. Καὶ πάλιν ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκα σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δή που Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέποιθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Ἀλληλούια.

## ΕΥΑΓΓΕΛΙΟΝ

***Ἐκ τοῦ κατὰ Λουκᾶν.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, συνέλαβεν ἡ Ἐλισάβετ, ἡ γυνὴ Ζαχαρίου· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ, εἰς πόλιν τῆς Γαλιλαίας, ἣ ὄνομα Ναζαρὲτ πρὸς Παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυίδ· καὶ τὸ ὄνομα τῆς Παρθένου Μαριάμ. Καὶ εἰσελθὼν ὁ Ἄγγελος πρὸς αὐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

τήν, εἶπε. Χαῖρε Κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ Ἄγγελος αὐτῇ. Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ, καὶ ἰδού, συλλήψῃ ἐν γαστρί καὶ τέξῃ Υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ Πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν Ἄγγελον. Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς ὁ Ἄγγελος εἶπεν αὐτῇ. Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ, καὶ ἰδού. Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρα· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ. Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ Ἄγγελος.

*Τὸ Χερουβικόν.*

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι, τὸν Τρισάγιον Ὕμνον προσάδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς Ἀγγελικαῖς ἀοράτως, δορυφορούμενον τάξεσιν. Ἀλληλούια.

Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα.

Ἔλαιον εἰρήνης θυσίαν αἰνέσεως.

Καὶ μετὰ τοῦ πνεύματός σου. Ἔχομεν πρὸς τὸν Κύριον.

Ἄξιον καὶ δίκαιον ἐστίν. Κύριε ἐλέησον. Ἅγιος, Ἅγιος Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσανὰ ἐν τοῖς Ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Ὡσσανὰ ὁ ἐν τοῖς Ὑψίστοις. Ἀμήν

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν Κύριε, καὶ δεόμεθά σου ὁ Θεὸς ἡμῶν.



*Εἰς τὸ Ἐξαιρέτως.*

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε Οὐρανοὶ Θεοῦ τὴν δόξαν. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ. Ψαυέτω μηδαμῶς γὰρ ἀμειώτως χείλη δὲ πιστῶς τῇ Θεοτόκῳ ἀσιγήτως. Φωνὴ τοῦ Ἀγγέλου ἀναμέλποντα· ἐν ἀγαλλιάσει βοάτω. Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

***Εἰς τὰ Δύπτιχα τὰ παρόντα Μεγαλυνάρια οἷον βούλει.***

Ἔκθαμβος ἀσπάζεται Γαβριήλ, ἔκθαμβος λαμβάνει ἡ Παρθένος τὸν ἀσπασμόν, πῶς ὁ Θεὸς Λόγος κατῆλθε βροτωθῆναι· Τοῦ Κτίστου προσκυνοῦμεν τὴν συγκατάβασιν.

Εἰς πόλιν ἐπιφθάσας τὴν Ναζαρέτ, Γαβριὴλ ὁ θεῖος, κατασπάζεται σὲ Ἁγνή, βοῶν σοι το, χαῖρε εὐλογημένη Κόρη, ἐν τῇ γαστρί σου ἕξεις Θεὸν σαρκούμενον.

Σήμερον ἡ κτίσις ἀγάλλεται, ὅτι σοὶ τὸ χαῖρε, προσφωνεῖ ὁ Ἀρχάγγελος· διὸ σὺν αὐτῷ σοι βοῶμεν, Παναγία, χαῖρε εὐλογημένη, βροτῶν ἀνάκλησις.

Ἑαυτὸν καθῆκεν εἰς κένωσιν, τοῦ Θεοῦ ὁ Λόγος, κατὰ βούλησιν πατρικήν, καὶ ᾤκησεν ἐν μήτρᾳ Μαρίας τῆς Παρθένου, ἵνα ἀναπλάσῃ ἅπαν γένος τὸ βρότειον.

***Τὸ Πάτερ ἡμῶν. Καὶ ἀντὶ τοῦ Κοινωνικοῦ, τὴν ὁμιλίαν ταύτην.***

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν. Πανηγυρίζωμεν εὐσεβὲς ἀκροατήριον σήμερον τὴν σάρκωσιν τοῦ θείου Λόγου, εἰς τὴν Θεοτόκον Δέσποιναν, τὸ μυστήριον τῆς θείας οἰκονομίας.

Αἱ ῥήσεις τῶν θείων Προφητῶν σήμερον πληροῦνται λέγοντες. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου· ἄκουσον θύγατερ καὶ ἴδε. Μνησθήσομαι τοῦ ὀνόματός σου, Ἁγνὴ Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον Παρθένος χαῖρε Βασίλισσα Οὐρανοῦ καὶ γῆς. Χαῖρε Παντάνασσα Δέσποινα. Ἔρχεται ὁ Ἀγγελιαφόρος Γαβριὴλ φέρων τὴν χαροποιὰν εἴδησιν εἰς τὴν Παρθένον Θεοτόκον, ὅτι μέλλει ὁ ἀχώρητος Κύριος νὰ σαρκωθῇ εἰς τὴν κοιλίαν σου, νὰ γείνῃς μήτηρ τοῦ Θεοῦ, καὶ δοχεῖον τοῦ Παναγίου Πνεύματος.

Διστάζουσα τὸν τοιοῦτον χαιρετισμὸν τοῦ Ἀγγέλου, φοβουμένη ἡ Κυρία Θεοτόκος τὴν ἀπάτην τοῦ Πρωτοπλάστου ἐθαύμαζε λέγουσα. Πόθεν αὐτὴ ἡ εἴδησις. Πῶς νὰ σὲ ὀνομάσουν ἄνθρωπον Βλέπω οὐράνια λόγια ἐξερχόμενα ἐκ τοῦ στόματός σου, δειλιῶ καὶ φοβοῦμαι. Ὅτι πῶς εἶναι δυνατὸν νὰ χωρέσῃ ὁ ἀχώρητος Θεὸς εἰς κοιλίαν μιᾶς γυναικός; ὁ κόσμος ὅλος δὲν τὸν χωρεῖ καὶ πῶς δύναται νὰ ἀναπαυθῇ

εἰς τόσον μικρὸν κατοικητήριον ἀπορῶ καὶ ἐξίσταμαι τὴν θείαν τοῦ Κυρίου συγκατάβασιν.

Αὐτὰ ἔλεγε ἡ Κυρία Θεοτόκος εἰς τὸν Ἄγγελον, συγκεκινημένη μετὰ φόβου καὶ τρόμου. Ἀπαντῶν ὁ Ἀρχάγγελος. Οὔτε νὰ διστάζῃς οὔτε νὰ θαυμάζῃς διὰ τὸν χαιρετισμόν μου, διότι ἔλαβες ἀνωτέραν χάριν ἀπὸ ὅλους τοὺς Ἁγίους, νὰ γείνῃς Μητέρα τοῦ Θεοῦ· νὰ γεννήσῃς τὸν Βασιλέα ὅλης τῆς οἰκουμένης, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Μὴ θαυμάζῃς Μαριάμ Λέγει ὁ Ἄγγελος. Πνεῦμα Ἅγιον ἐπιλεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σε.

Λέγει ἡ Θεοτόκος.

Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμα σου, εἶμαι ἑτοίμη, εἰς τὰς ἄνωθεν τοῦ Κυρίου παραγγελίας, ἂς γείνῃ τὸ Ἅγιόν του θέλημα, ἂς ἔλθῃ ἐπ' ἐμὲ ἡ χάρις του νὰ κατοικήσῃ. Γένοιτο τὸ θέλημά του. Λέγων ὁ Προφητάναξ Δαβίδ, διὰ τὴν σήμερον ἡμέραν Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν. Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Χαῖρε νύμφη ἀνύμφευτε. Ὅθεν καγὼ ὁ ἐλάχιστος παρακινούμενος ἐκ θείου ζήλου εἰς τὴν Παντάνασσαν Δέσποιναν, παρακαλῶ γονυκλιτῶς τὸ Ἅγιον, καὶ ὑπεράγιόν της ὄνομα, ὡς μεσήτριαν τοῦ ἀνθρωπίνου γένους, καὶ προστάτις χηρῶν, ὀρφανῶν, νέων γερόντων νὰ μᾶς σκέπῃ καὶ διαφυλάττῃ ἀπὸ πάντα πειρασμόν, γνωρίζων τὴν ἀσθένειαν τῶν ἁμαρτωλῶν, ὅτι εἰς τὴν εὐσπλαγχνίαν σου καταφεύγομεν, λέγοντες Παναγία σῶσον μας ἐκ βάθους ψυχῆς καὶ καρδίας, προσπίπτοντες γονυκλιτῶς εἰς τὸ Ἅγιόν σου ὄνομα, ὅτι εἰς ἐσὲ ἁμαρτάνομεν καὶ εἰς ἐσὲ πάλιν ἐλπίζομεν συγχωρήσεως ἁμαρτιῶν.

Χαῖρε Θεοτόκε Παρθένε Μαρία ὁ Κύριος μετὰ σοῦ, χαῖρε νύμφη ἀνύμφευτε, χαῖρε Κυρία τῶν Ἀγγέλων, ὑψηλοτέρα τῶν Οὐρανίων νοερῶν δυνάμεων, Χαῖρε Βασίλισσα τῶν βασιλευόντων, ὅπου οὔτε Ἄγγελοι, οὔτε προφῆται, οὔτε Ἀπόστολοι, Ἱεράρχαι, Μάρτυρες, ἔλαβον τὴν δόξαν σου Παναγία μου, ὅπου εἶσαι ἀνωτέρα πάντων τῶν Ἁγ ων.

Ἡ ὑψηλοτέρα καὶ καθαροτέρα τῶν ἡλιακῶν ἀκτίνων ὅπου μὲ τὴν δύναμίν σου φωτίζεις καὶ σκεπάζεις ὅλην τὴν ὑφήλιον. Σὲ παρακαλοῦμεν νὰ μᾶς ἐξαλείψῃς τοὺς πονηροὺς λογισμοὺς ἐκ τῆς διανοίας μας, νὰ μᾶς φωτίζῃς εἰς τὸ ἀγαθόν, νὰ μᾶς προστατεύῃς καὶ διαφυλάττῃς ἀπὸ κάθε κίνδυνον, διότι εἴμεθα πλάσμα τοῦ Υἱοῦ σου, καὶ παρακαλοῦμεν σὲ νὰ γείνῃς ἵλεως, νὰ λυπηθῇς τὰ δάκρυα καὶ τοὺς ἀναστεναγμούς μας.

Ἂς προσκυνήσωμεν καὶ ἡμεῖς ἐν καθαρᾷ καρδίᾳ, τὴν Παντάνασσαν Δέσποιναν, ἂς σφαλίσωμεν τὸ στόμα μας, νὰ ὑβρίζωμεν τὸ Ἅγιόν της ὄνομα ἂς παύσωμεν τὴν ἁμαρτίαν τὴν ἀχαριστίαν, μὴ γεινώμεθα χει-



ρότεροι ἀπὸ τοὺς ἀσεβεῖς, οἵτινες ἐκεῖνα ὅπου προσκυνοῦν τὰ λατρεύουν, δὲν τὰ ὑβρίζουν, ἡμεῖς ὅμως οἱ λεγόμενοι χριστιανοὶ τὸ ὄνομα μόνον ἔχομεν, διότι τὰ ἔργα μας εἶναι ἀντίθετα, τῶν ἔργων τοῦ ἀληθοῦς χριστιανοῦ.

Ὅθεν περαίνω τὴν ὁμιλίαν μου λέγοντας. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν τὰς δεήσεις καὶ ἱκεσίας, ὦ παντάνασσα Δέσποινα Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ, καὶ μεθ' ἡμῶν. Γένοιτο.

Κοινωνικὸν

Ἐξελέξατο Κύριος τὴν Σιών, ἡρετήσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἴς τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἀπόλυσις.

---

**16. *Αὐγούστου. Τοῦ Ἁγίου Μανδηλίου, τοῦ Ὁσίου Γερασίμου Κεφαλληνίας, Ἀποστόλου τοῦ Νέου, καὶ τῶν Ἁγίων μαρτύρων Σεραφείμ, Δωροθέου, Ἰακώβου, Βασιλείου, Δημητρίου, καὶ Σαράντη τῶν ἐκ Μεγάρων.***

*Ἀπολυτίκιον Ἁγ. Μανδηλίου Ἦχος Α΄.*

Ἑλκόμενον σε Κύριε πρὸς τὸ πάθος τοῦ Σταυροῦ ὁρῶντες, προσκυνοῦμεν σου τὴν ἄχραντον μορφήν, Χριστὲ ὁ Θεὸς ἡμῶν· Βουλήσει γὰρ ηὐδόκησας σαρκὶ παθεῖν ὑπὲρ ἡμῶν, ἵνα σώσῃς τὸν κόσμον σου, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· Δόξα τῇ εὐσπλαγχνίᾳ σου Σωτήρ, δόξα Πανάγαθε τῇ μακροθυμίᾳ σου, δόξα Παμβασιλεῦ τῇ συγκαταβάσει σου.

*Ἁγίου Γερασίμου. Ἦχος Α .*

Τῶν πιστῶν σε προστάτην, καὶ ταχὺ ἀντιλήπτορα, Ὁσιώτατε Πάτερ θεοφόρε Γεράσιμε, ἀνέδειξε Θεὸς ἐπὶ τῆς γῆς, ὁ πάντων τῶν ὄντων κηδεμών. Θεραπεύεις γὰρ σωμάτων καὶ τῶν ψυχῶν τὰ πάθη τῇ σῇ χάριτι· δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Ἀπολυτίκιον Ἁγίου Ἀποστόλου Ἦχος Δ΄.*

Ὡς τῶν ἀθλοφόρων συνόμιλον, καὶ τῶν εὐσεβῶν ἀγαλλίαμα, συνελθόντες ἐν πίστει τιμῶμεν Ἀπόστολε, εἰρήνην τῇ οἰκουμένῃ αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ὑμῶν τὸ μέγα ἔλεος.

***Τῶν ἐν Μεγάροις Ἁγίων Ἦχος πλ. Α΄***

Τῶν Μεγάρων ἡ πόλις χαίρουσα σήμερον, τῶν Λειψάνων Μαρτύρων τὴν θείαν εὕρεσιν, ἀναβρύοντα πηγὰς τῶν ἰάσεων, πάντας ἐν πίστει σώζοντας, τοῖς προστρέχουσιν αὐτοῖς, ἐκ νοσημάτων παντοίων· προσκυνήσωμεν ὅθεν τὴν θείαν μνήμην αὐτῶν.

*Κοντάκιον τοῦ Ἁγίου Μανδηλίου Ἦχος β΄.*

Γλυκύτατε Ἰησοῦ, ὁ τὸν ἄσωτον σώσας καὶ τὴν πόρνην προσδεξάμενος Ἰησοῦ μου, καὶ τὴν Αἱμοῤῥοοῦν ἀφῇ ἰασάμενος κἀμὲ Ἰησοῦ μου γλυκύτατε, τὸν ἄσωτον οἴκτειρον, καὶ ῥῦσαι ἐκ πάντων τῶν βιοτικῶν πειρατηρίων καὶ θλίψεων, καὶ σῶσον εὐεργέτα Ἰησοῦ, ὡς φιλάνθρωπος.

*Κοντάκιον τοῦ Ἁγίου Γερασίμου Ἦχος πλ. Δ΄ Τῇ ὑπερμάχῳ*

Ὡς ἀντιλήπτωρ καὶ θερμὸς προστάτης ἔνδοξε, ἀεὶ προφθάνας βοηθὸς ἐν περιστάσεσι: Διὸ ᾄσμασι, Γεράσιμε θεοφόρε, εὐφημοῦμεν σε πιστῶς καὶ ἐπιγράφομεν, τῆς σῆς νήσου τὸν προστάτην συμπαθέστατον, ἀνακράζοντες. Χαίροις πάτερ ἀοίδιμε.

*Κοντάκιον τοῦ Ἁγίου Ἀποστόλου Ἦχος Δ Ἐπεφάνης*

Ἑορτὴν τὴν εὔσημον τοῦ Ἀποστόλου, ἐκτελοῦσα βόησον, πατρὶς αὐτοῦ χαρμονικῶς· σὲ ἀνυμνῶ τὸν Σωτῆρα μου, Κάραν αὐτοῦ νῦν ἡμῖν δωρησάμενον.

*Κοντάκιον τῶν ἐν Μεγάροις μαρτύρων Ἦχος Δ΄*

Στρατολογίαν ἀληθῆ τῶν Μαρτύρων, τοῦ Οὐρανίου στρατιαὶ Βασιλέως, ἀποτελοῦντες φάλαγγα κατὰ τῶν δυσσεβῶν, Σεραφεὶμ Δωρόθεος, σὺν αὐτοῖς Ἰακώβῳ· ὧν πηγαὶ ἰάσεων ἀναβρύει ἡ λάρναξ, σῴζοντες ἐκ θλίψεων πάντας τοὺς πιστῶς, κατεξωλοθρεύοντες τῶν δαιμόνων τὰ στίφη, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτῶν.

---

**Ἀκολουθίας Ὁσ. Γερασίμου Πάτραι 1870.— Ἀποστόλου Ἀθῆναι 1879.— τῶν ἐν Μεγάροις Ἀθῆναι 1896 καὶ Ἁγίου Μανδηλίου, εὑρίσκονται ἅπασαι εἰς ἐμέ. Γ. Α. Βουτέρης Ἱερεύς.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓ. ΠΑΠ...